Ael. *V.H.* 10. 18 Δάφνιν τὸν βουκόλον λέγουσιν οἱ μὲν ἐρώμενον Ἑρμοῦ, ἄλλοι δὲ υἱόν· τὸ δὲ ὄνομα ἐκ τοῦ συμβάντος σχεῖν. γενέσθαι μὲν αὐτὸν ἐκ Νύμφης, τεχθέντα δὲ ἐκτεθῆναι ἐν δάφνῃ. τὰς δ' ὑπ' αὐτοῦ βουκολουμένας βοῦς φασιν ἀδελφὰς γεγονέναι τῶν Ἡλίου, ὧν Ὅμηρος ἐν Ὀδυσσείᾳ μέμνηται. βουκολῶν δὲ κατὰ τὴν Σικελίαν ὁ Δάφνις, ἡράσθη αὐτοῦ Νύμφη μία, καὶ ὡμίλησε καλῷ ὄντι καὶ νέῳ καὶ πρῶτον ὑπηνήτῃ, ἔνθα τοῦ χρόνου ἡ χαριεστάτη ἐστὶν ἡβη τῶν καλῶν μειρακίων, ὥς που φησι καὶ Ὅμηρος. συνθήκας δὲ ἐποίησε μηδεμιᾷ ἄλλῃ πλησιάσαι αὐτόν, καὶ ἐπηπείλησεν ὅτι πεπρωμένον ἐστὶν αὐτὸν στερηθῆναι τῆς ὄψεως, ἐὰν παραβῇ· καὶ εἶχον ὑπὲρ τούτων ῥήτραν πρὸς ἀλλήλους. χρόνῳ δὲ ὕστερον βασιλέως θυγατρὸς ἐρασθείσης αὐτοῦ οἰνωθεὶς ἔλυσε τὴν ὁμολογίαν, καὶ ἐπλησίασε τῇ κόρῃ. ἐκ δὲ τούτου τὰ βουκολικὰ μέλη πρῶτον ᾄσθη, καὶ εἶχεν ὑπόθεσιν τὸ πάθος τὸ κατὰ τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ Στησίχορόν γε τὸν Ἱμεραῖον τῆς τοιαύτης μελοποιΐας ὑπάρξασθαι.

Diod Sic. 4 84 νυνὶ δὲ περὶ Δάφνιδος πειρασόμεθα διελθεῖν τὰ μυθολογούμενα. Ἡραῖα γὰρ ὄρη κατὰ τὴν Σικελίαν ἐστίν, ἃ φασι κάλλει τε καὶ φύσει καὶ τόπων ἰδιότησι πρὸς θερινὴν ἄνεσιν καὶ ἀπόλαυσιν εὖ πεφυκέναι. πολλάς τε γὰρ πηγὰς ἔχειν τῇ γλυκύτητι τῶν ὑδάτων διαφόρους καὶ δένδρεσι παντοίοις πεπληρῶσθαι. εἶναι δὲ καὶ δρυῶν μεγάλων πλῆθος, φερουσῶν καρπὸν τῷ μεγέθει διαλλάτ-

[1] mss σαρπηδ.

---

[1] *i. e.* the edible oak

9

Pausanias *Description of Greece* [on Arcadia]: Now Pallantium is mentioned by Stesichorus of Himera in the *Tale of Geryon.*

10

Scholiast on Apollonius of Rhodes *Argonautica*: . . . But Stesichorus says in the *Tale of Geryon* that there is an island called

Sarpedonia

in the Atlantic Sea.

---

11 DAPHNIS

Aelian *Historical Miscellanies*: Daphnis the Neatherd according to some authorities was the beloved, and according to others the son, of Hermes, and is said to have received this name from the circumstance that his mother, who was a Nymph, exposed him under a *daphnè* or bay-tree. The cows which he tended were sisters of the cattle of the Sun, of which Homer tells in the *Odyssey*. And while he watched them in Sicily, one of the Nymphs fell in love with him and had him for her mate, as well she might, seeing that he was both a handsome lad and then 'making the first hair to his lip,' which, as Homer says, 'is the fairest season of youth' in a person with good looks. And more, she made a covenant with him that he would have to do with no other woman, threatening him with the certain loss of his sight if he should break his word. So it was agreed; but some time after, a king's daughter falling in love with him, he broke the covenant when he was overcome with wine, and lay with her. From this story arose the Bucolic songs or lays of herdsmen, having for their theme the blinding of Daphnis. The first composer of such songs was Stesichorus of Himera.

Diodorus of Sicily *Historical Library*: We will now try to narrate the myth of Daphnis. It seems there are certain highlands in Sicily called the Heraean Hills, which for their beauty, character, and physical peculiarities are said to be excellently suited for a summer holiday. The district possesses an abundance of springs remarkable for the sweetness of their water, and is full of trees of every sort, among them a multitude of great oaks[1] which bear fruit of unusual

τοντα, διπλασιάζοντα τῶν ἐν ταῖς ἄλλαις χώραις φυομένων. ἔχειν δὲ καὶ τῶν ἡμέρων καρπῶν αὐτομάτων, ἀμπέλου τε πολλῆς φυομένης καὶ μήλων ἀμυθήτου πλήθους. διὸ καὶ στρατόπεδόν ποτε Καρχηδονίων ὑπὸ λιμοῦ πιεζόμενον διαθρέψαι, παρερχομένων τῶν ὀρῶν πολλαῖς μυριάσι χορηγίας εἰς τροφὴν ἀνέκλειπτον. ἐν ταύτῃ δὲ τῇ χώρᾳ συναγκείας δένδρων οὔσης θεοπρεποῦς καὶ Νύμφαις ἄλσους ἀνειμένου μυθολογοῦσι γεννηθῆναι τὸν ὀνομαζόμενον Δάφνιν, Ἑρμοῦ μὲν καὶ Νύμφης υἱόν, ἀπὸ δὲ τοῦ πλήθους καὶ τῆς πυκνότητος τῆς φυομένης δάφνης ὠνομάσθαι Δάφνιν. τοῦτον δ' ὑπὸ Νυμφῶν τραφέντα, καὶ βοῶν ἀγέλας παμπληθεῖς κεκτημένον, τούτων ποιεῖσθαι πολλὴν ἐπιμέλειαν· ἀφ' ἧς αἰτίας βουκόλον αὐτὸν ὀνομασθῆναι. φύσει δὲ διαφόρῳ πρὸς εὐμέλειαν κεχορηγημένον ἐξευρεῖν τὸ βουκολικὸν ποίημα καὶ μέλος, ὃ μέχρι τοῦ νῦν κατὰ τὴν Σικελίαν τυγχάνει διαμένον ἐν ἀποδοχῇ. μυθολογοῦσι δὲ τὸν Δάφνιν μετὰ τῆς Ἀρτέμιδος κυνηγεῖν ὑπηρετοῦντα τῇ θεᾷ κεχαρισμένως, καὶ διὰ τῆς σύριγγος καὶ βουκολικῆς μελῳδίας τέρπειν αὐτὴν διαφερόντως. λέγουσι δ' αὐτοῦ μίαν τῶν Νυμφῶν ἐρασθεῖσαν προειπεῖν, ἐὰν ἄλλῃ τινὶ πλησιάσῃ, στερήσεσθαι τῆς ὁράσεως· κἀκεῖνον ὑπό τινος θυγατρὸς βασιλέως καταμεθυσθέντα καὶ πλησιάσαντα αὐτῇ, στερηθῆναι τῆς ὁράσεως κατὰ τὴν γεγενημένην ὑπὸ τῆς Νύμφης πρόρρησιν.

12–17 Ἑλένα

Isocr. *Hel.* 64 ἐνεδείξατο δὲ (ἡ Ἑλένη) καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν ἑαυτῆς δυνάμιν· ὅτε μὲν γὰρ ἀρχόμενος τῆς <Ἑλένης> ᾠδῆς ἐβλασφήμησέ τι περὶ αὐτῆς, ἀνέστη τῶν ὀφθαλμῶν ἐστερημένος, ἐπειδὴ δὲ γνοὺς τὴν αἰτίαν τῆς συμφορᾶς τὴν καλουμένην Παλινῳδίαν ἐποίησε, πάλιν αὐτὸν εἰς τὴν αὐτὴν φύσιν κατέστησεν.

Sch. Eur. *Or.* 249 [ἐπίσημον ἔτεκε Τυνδάρεως ἐς τὸν ὑγρὸν γένος θυγατέρων δυσκλεές τ' ἀν' Ἑλλάδα]· Στησίχορός φησιν ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο· διὸ ὀργισθεῖσαν τὴν θεὸν διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ποιῆσαι.[1] ἔχει δὲ ἡ χρῆσις οὕτως·

[1] mss ἐποίησεν

size, indeed twice as large as is found in other parts. Here too some of the fruits of cultivation grow of themselves, vines in profusion and apples in an incredible plenty. Indeed a Carthaginian army once lived on this country when they had otherwise starved to death, these highlands coming to their aid with a limitless and inexhaustible supply of food. In this country, at a spot divinely fair where two tree-clad valleys meet in a grove sacred to the Nymphs, the story goes that the child afterwards called Daphnis was born the son of Hermes and a Nymph, and received his name from the abundance and density of the bay-trees that grew there. Brought up by the Nymphs, this Daphnis came to be master of immense herds of cattle, which were his incessant care; whence his name of Neatherd. And being endowed with a great gift for melody, he invented the Bucolic or Pastoral poetry and music which remain in favour in Sicily to this day. It is further said that Daphnis attended Artemis on her hunting with much pleasure to the Goddess, delighting her with his pipe and his pastoral melodies. And we are told that one of the Nymphs, who fell in love with him, warned him that if he had to do with any other woman he would lose his sight, and that being made drunk and led astray by some princess, he lost it as the Nymph had foretold.[1]

12–17 Helen

Isocrates *Helen*: Moreover Helen displayed her power to the poet Stesichorus. Having found some fault with her at the beginning of his poem the *Helen*, he went away [from the performance] blind, and then when, realising the cause of his misfortune, he composed what is called the *Palinode* or Recantation, she restored him his sight.

Scholiast on Euripides *Orestes* ['Conspicuous for blame were all the daughters begotten of Tyndareüs, and of ill-repute throughout all Greece']: According to Stesichorus, when Tyndareüs was sacrificing to the Gods he forgot Aphrodite, and for this the Goddess made his daughters twice-wed, thrice-wed, and husband-forsakers. The passage runs thus:

[1] cf. Vürtheim p. 73, and Reitz. *Epig. u. Skol.* p. 262

οὔνεκα Τυνδάρεος [1]
ῥέζων ποτὲ πᾶσι θεοῖς μούνας λάθετ' ἠπιοδώρω
Κύπριδος· [2] κείνα δὲ Τυνδαρέω κόρας [3]
χολωσαμένα διγάμους τε καὶ τριγάμους τίθησι
καὶ λιπεσάνορας.

13

Paus. 2. 22. 6 [π. Ἄργεος]· πλησίον δὲ τῶν Ἀνάκων, Εἰλειθυίας ἐστὶν ἱερόν, ἀνάθημα Ἑλένης ὅτε σὺν Πειρίθῳ Θησέως ἀπελθόντος εἰς Θεσπρώτους Ἀφιδνά τε ὑπὸ Διοσκούρων ἑάλω καὶ ἤγετο εἰς Λακεδαίμονα Ἑλένη· ἔχειν μὲν γὰρ αὐτὴν λέγουσιν ἐν γαστρί, τεκοῦσαν δὲ ἐν Ἄργει καὶ τῆς Εἰλειθυίας ἱδρυσαμένην τὸ ἱερόν, τὴν μὲν παῖδα ἣν ἔτεκε Κλυταιμνήστρᾳ δοῦναι, συνοικεῖν μὲν γὰρ ἤδη Κλυταιμνήστραν Ἀγαμέμνονι· αὐτὴν δὲ ὕστερον τούτων Μενελάῳ γήμασθαι. καὶ ἐπὶ τῷδε Εὐφορίων Χαλκιδεὺς καὶ Πλευρώνιος Ἀλέξανδρος ἔπη ποιήσαντες, πρότερον δὲ ἔτι Στησίχορος ὁ Ἱμεραῖος, κατὰ ταὐτά φασιν Ἀργείοις Θησέως εἶναι θυγατέρα Ἰφιγένειαν.

14

Sch. Il. 2. 339 [πῇ δὴ συνθεσίας τε καὶ ὅρκια βήσεται ἡμῖν ;]· τῶν ἐκ τῆς Ἑλλάδος ἀρίστων ἐπὶ μνηστείαν τῆς Ἑλένης πάντων διὰ τὸ γένος καὶ τὸ κάλλος, Τυνδάρεως ὁ πατὴρ αὐτῆς, ὥς τινές φασι, φυλασσόμενος μή ποτε ἕνα αὐτῶν προκρίνας τοὺς ἄλλους ἐχθροὺς ποιήσηται, κοινὸν αὐτῶν ἔλαβον ὅρκον ἢ μὴν τῷ ληψομένῳ τὴν παῖδα ἀδικουμένῳ περὶ αὐτὴν σφόδρα πάντας ἐπαμυνεῖν· διόπερ Μενελάῳ αὐτὴν ἐκδίδωσι· καὶ μετ' οὐ πολὺ ἁρπασθείσης αὐτῆς ὑπὸ Ἀλεξάνδρου ἐκοινώνησαν τῇ στρατείᾳ διὰ τοὺς γενομένους ὅρκους. ἱστορεῖ Στησίχορος.

[1] mss τυνδάρεως [2] ποτὲ here *B*: mss after οὔνεκα μ· ύνας *B*: mss μόνης, μιᾶς [3] mss κόραις, κούραις, κώρας

STESICHORUS

How Tyndareüs one day in making sacrifice to all the Gods forgat the joy-giving Cypris; and in anger she caused the maidens of Tyndareüs to be twice-wed and thrice, and forsakers of husbands.

13

Pausanias *Description of Greece* [on Argos]: Near the temple of the Twin Brethren is one dedicated to Ilithyia by Helen when, upon Theseus' departure into Thesprotis with Peirithoüs, Aphidna was taken by the Dioscuri and Helen carried off to Sparta. It is said that she was then with child, and being brought to bed at Argos and dedicating the temple to Ilithyia she gave the daughter she bore into the care of Clytemnestra, already the queen of Agamemnon, and some time afterwards was married to Menelaus. And on this account Euphorion of Chalcis and Alexander of Pleuron in their epic poetry, and Stesichorus of Himera before them, all declare that the Argives hold Iphigeneia to have been the daughter of Theseus.

14

Scholiast on the *Iliad* ['what will become of our covenants and oaths?']: According to some authorities, when the best men in Greece came to win Helen because of her birth and beauty, her father Tyndareüs, for fear that his preference for one should make the rest his enemies, made them all take an oath that if the successful suitor suffered wrong in respect of his daughter, they would all come with a will to his aid; and so gave her to Menelaus. And when soon afterwards she was carried off by Paris, they joined the expedition because of their oaths. The story is told by Stesichorus.

15

Ath. 3. 81 d. Κυδωνίων δὲ μήλων μνημονεύει Στησίχορος ἐν Ελένῃ οὕτως·

πολλὰ μὲν Κυδώνια μᾶλα ποτερρίπτουν ποτὶ
δίφρον ἄνακτι,
πολλὰ δὲ μύρσινα φύλλα
καὶ ῥοδίνους στεφάνους ἴων τε κορωνίδας οὔλας.

16

Ibid. 10. 451 d καὶ Στησίχορος δὲ ἐν Ἑλένῃ·

λιθαργύρεον ποδονιπτῆρα [1]

17

Arg. Theocr. 18 τοῦτο τὸ εἰδύλλιον ἐπιγράφεται Ἑλένης Ἐπιθαλάμιος καὶ ἐν αὐτῷ τινα εἴληπται ἐκ τοῦ πρώτου Στησιχόρου Ἑλένης.[2]

---

18 Παλινῳδία

Hor. *Epod.* 17. 38

. . . paratus expiare seu poposceris
centum iuvencos, sive mendaci lyra
voles sonari, tu pudica, tu proba
perambulabis astra sidus aureum.
infamis Helenae Castor offensus vicem
fraterque magni Castoris, victi prece
adempta vati reddidere lumina:
et tu . . . . . .

Plat. *Rep.* 586 b Ἆρ' οὖν οὐκ ἀνάγκη καὶ ἡδοναῖς συνεῖναι μεμειγμέναις λύπαις, εἰδώλοις τῆς ἀληθοῦς ἡδονῆς καὶ ἐσκιαγραφημέναις, ὑπὸ τῆς παρ' ἀλλήλας θέσεως ἀποχραινομέναις, ὥστε σφοδρὰς ἑκατέρας φαίνεσθαι, καὶ ἔρωτας ἑαυτῶν λυττῶντας τοῖς

[1] perh. nominative [2] mss Ἑ. ἐπιθαλαμίου

---

[1] prob. ref. to marriage of Helen and Menelaus [2] vitrified lead [3] prob. the name given to a new prelude to the *Helen*, not to an entirely new poem [4] this points to S.'s

15

Athenaeus *Doctors at Dinner*: Quinces are mentioned by Stesichorus in his *Helen* thus:

Many the quinces they cast upon the chariot of the king, many the leaves of myrtle, and garlands of roses and twisted wreaths of violets.[1]

16

The Same: Stesichorus too, in his *Helen*, speaks of

a footbath of litharge[2]

17

Introduction to Theocritus' 18th *Idyll*: This idyll is called the *Epithalamy of Helen*, and certain things in it are taken from the first Book of Stesichorus' *Helen*.

---

18 The Palinode[3]

Horace *Epodes*: . . . I will expiate my sin whether you ask of me a hecatomb of oxen or, sung by a lying lute, would fain be a golden constellation walking modest and maiden —you!—amid the stars[4] When Helen was defamed, the wrath of Castor and great Castor's brother was overcome by supplication, and they restored the light to the poet that was blind; even so do you . . .[5]

Plato *Republic*: Does it not follow then that the pleasures such men have to do with are mixed with pains, mere phantoms of the true pleasure, perspective paintings of it, taking each its depth of colour from contrast in juxtaposition with its particular pain and for that reason appearing great, pleasures which make foolish persons madly in love with

having thus apotheosised H.; cf. Eur. *Hel.* 1666, *Or.* 1636 (Vürtheim) [5] the supplication was H.'s; the Romans (and Byzantine Greeks) regarded the Dioscuri as healers, cf. Pers. 2. 56 (Sch.) and Vürtheim p. 69; see also Suid. *Φορμίων*

ἄφροσιν ἐντίκτειν καὶ περιμαχήτους εἶναι, ὥσπερ τὸ τῆς Ἑλένης εἴδωλον ὑπὸ τῶν ἐν Τροίᾳ Στησίχορός φησι γενέσθαι περιμάχητον ἀγνοίᾳ τῆς ἀληθοῦς ;

Zon. 1338 μάτην· ἀντὶ τοῦ ματαίως· ἀπὸ τοῦ θηλυκοῦ εἰς ἐπίρρημα· Στησίχορος· μάτας εἶπον.[1]

Aristid. 2. 572 καὶ ταῦτα μὲν δὴ ταῦτα. μέτειμι δ' ἐφ' ἕτερον προοίμιον κατὰ Στησίχορον· σκιαμαχεῖν μὲν οὖν πως οἶδ' ὅτι δεῖ· πρὸς οὓς γὰρ εἰρήσεται τὰ λεγόμενα οὐχ ἥκουσιν· ὥστε συμβαίνει ἅμα μὲν σχεδὸν ὥσπερ ἂν εἰς μάτην γίγνεσθαι τοὺς λόγους, ἅμα δ' εἶναι σαφέστατον ὡς ὀρθῶς καὶ προσηκόντως εἰρήσονται. αὐτόθεν γάρ που φανερόν, ὅτι οὐ τὸ ἡμέτερον αἴτιον οὔτε νῦν οὔτε ἄλλοτε πώποτε, σὺν θεοῖς εἰπεῖν, ἀλλ' ἡ τουτων περὶ πάντα συνηθὴς ῥᾳθυμία.

Plat. *Phaedr.* 243 a ἐμοὶ μὲν οὖν, ὦ φίλε, καθήρασθαι ἀνάγκη· ἔστιν δὲ τοῖς ἀμαρτάνουσι περὶ μυθολογίαν καθαρμὸς ἀρχαῖος ὃν Ὅμηρος μὲν οὐκ ἔγνω, Στησίχορος δέ. τῶν γὰρ ὀμμάτων στερηθεὶς διὰ τὴν Ἑλένης κακηγορίαν οὐκ ἠγνόησεν ὥσπερ Ὅμηρος, ἀλλ' ἅτε μουσικὸς ὢν ἔγνω τὴν αἰτίαν, καὶ ποιεῖ εὐθύς· Οὐκ ἔστ' ἔτυμος κ.τ.λ. . . . καὶ ποιήσας δὴ πᾶσαν τὴν καλουμένην Παλινῳδίαν παράχρημα ἀνέβλεψεν.

μάτας εἶπον· μέτειμι δ' ἐφ' ἕτερον προοίμιον.[2]
οὐκ ἔστ' ἔτυμος λόγος οὗτος·
οὐδ' ἔβας ἐν ναυσὶν εὐσέλμοις,
οὐδ' ἵκεο πέργαμα Τροίας.

19–20 Ἐριφύλα

Apollod. 3. 10. 3 (3. 121) εὗρον δέ τινας λεγομένους ἀναστῆναι ὑπ' αὐτοῦ (Ἀσκληπίου) Καπανέα καὶ Λυκοῦργον, ὡς Στησίχορός φησιν ἐν Ἐριφύλῃ, Ἱππόλυτον. . . .

[1] *E. C.R.* 1921 : mss εἰπών : cf. *Vet. E. M.* 212 μάτας εἶπεν
[2] not in Plato ; for metre cf. 54

---

[1] cf. Dio Chrys. 11. 40 (ἐν τῇ ὕστερον ᾠδῇ, 'in the latter poem'), Philostr. *Apoll.* 6.11. p. 246 (πρότερος λόγος), Aristid. 1.

them and are fought for, as the phantom of Helen according to Stesichorus was fought for by the warriors at Troy in ignorance of the true Helen?

Zonaras *Lexicon*: μάτην: for ματαίως 'vainly,' an adverb made from the feminine [noun]: compare Stesichorus 'I spake vanities.'

Aristides *Orations*: So much for that. 'I will go seek another prelude' as Stesichorus says. Now I know that I, like him, have to fight with shadows. Those to whom my words will apply are not present, and therefore in a sense my words become vain and empty, although at the same time it is certain that they will be true and to the point. For it is obvious that the fault is not nor ever can, save the mark, be mine, but rather lies with the entire and inveterate apathy of these gentlemen themselves.[1]

Plato *Phaedrus*: So it seems that I, my friend, must do expiation. Now the precedent for expiation for sinners in mythology goes back, not indeed to Homer, but to Stesichorus, who when blinded for slandering Helen did not, like Homer, wonder why, but like a true scholar recognised the reason for what had befallen him and without more ado wrote 'This story' etc. . . . and having finished the *Palinode* as it is called, immediately received his sight.

I spake vanities, and I will go seek another prelude. This story is not true; thou wentest not in the benchèd ships, thou camest not to the city of Troy.

19–20[2] Eriphylè

Apollodorus *Library*: I find it maintained that the men Asclepius restored to life were Capaneus and Lyeurgus,—and so they were according to Stesichorus in the *Eriphylè*—Hippolytus . . .

212, 2. 72, 3. 150 (Sch.), Tzet. Lyc. 113, Conon 18, Paus. 3. 19. 11 ('S. thereupon composed the Palinode'), and Bergk for 20 further refs: Sch. Lycophr. *Alex.* 822 ascribes the first mention of the phantom of H. to Hesiod [2] cf. Sext. Emp. *Math.* 1. 261, Sch. Pind. *P.* 3. 96, Sch. Eur. *Alc.* 2, Philod. εὐσεβ. p. 52 Gom.

20

Eust. *Il.* 316. 16 Πίνδαρος δὲ οὐκ ἀδελφοὺς ἀλλὰ γονέας μητρὸς μάτρωας ἔφη. Στησίχορος δὲ πάτρωα τὸν κατὰ πατέρα πρόγονον εἶπεν, ἔνθα παρ' αὐτῷ Ἀμφίλοχος ἔφη τό·

πάτρω' ἐμὸν ἀντίθεον Μελάμποδα.

Μελάμπους γὰρ οὗ Ἀντιφάτης οὗ Οἰκλῆς οὗ Ἀμφιάραος, ὅθεν Ἀμφίλοχος.

---

21 Εὐρωπεία

Sch. Eur. *Ph.* 670 [ἔνθεν ἐξανῆκε γᾶ]· ὁ μὲν Στησίχορος ἐν Εὐρωπείᾳ τὴν Ἀθηνᾶν ἐσπαρκέναι τοὺς ὀδόντας φησίν.

22–31 Ἰλίου Πέρσις

Dio. Chrys. *Or.* 2. 33 Emp. Στησιχόρου δὲ καὶ Πινδάρου ἐπεμνήσθη τοῦ μὲν ὅτι μιμητὴς Ὁμήρου γενέσθαι δοκεῖ καὶ τὴν ἅλωσιν οὐκ ἀναξίως ἐποίησε τῆς Τροίας, τοῦ δὲ Πινδάρου διὰ κ.τ.λ.

23

Ath. 10. 456 f . . . τὸν Τρωϊκὸν μῦθον, ἐν ᾧ ὁ Ἐπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις, ὡς καὶ Στησίχορός φησιν·

ὤκτιρε γὰρ αὐτὸν ὕδωρ αἰεὶ φορέοντα Διὸς κούρα βασιλεῦσιν.[1]

[1] Eust. δ' αὐτὸν and Διὸς κούροις

---

[1] cf. Mill. *Mél.* 431 [2] under a representation of the Sack of Troy and the flight of Aeneas which form the central part of the sculptured slab known as the *Tabula Iliaca* (in the

20 [1]

Eustathius on the *Iliad*: Pindar uses *μάτρως* not for the mother's brothers but for her parents. And Stesichorus uses *πάτρως* for an ancestor on the father's side, where he makes Amphilochus say:

my father's forefather, the godlike Melampus;

for Amphilochus was son of Amphiaraus son of Oïcles son of Antiphates son of Melampus.

---

21 Europeia

Scholiast on Euripides *Phoenissae* [the sowing of the dragon's teeth]: According to Stesichorus in the *Europeia* it was Athena who had sown the teeth.

22–31 The Sack of Troy [2]

Dio Chrysostom *Orations*: He mentioned Stesichorus and Pindar because the former appears to have been an imitator of Homer and described the Sack of Troy in a poem of considerable merit, while the latter etc.

23 [3]

Athenaeus *Doctors at Dinner*: . . . the Trojan story, in which Epeius carries water for the Atreidae, as also Stesichorus says:

For the Daughter of Zeus pitied him to be always bearing water for the kings.[4]

Capitoline Museum, ascribed to the 1st cent.) are the words 'Sack of Troy according to Stesichorus.' He was prob. the earliest authority for the story of the flight of A. to Italy. cf. Stuart-Jones *Cat. Mus. Capit.* p. 165 [3] cf. Eust. 1323. 57
[4] daughter: Athena

24

Paus. 10. 27. 2 [*π. τὴν ἐν λέσχῃ Δελφῶν γραφὴν τὴν Πολυγνώτου*]· *εἰς δὲ Ἑκάβην Στησίχορος ἐν Ἰλίου Περσίδι ἐποίησεν ἐς Λυκίαν ὑπὸ Ἀπόλλωνος αὐτὴν κομισθῆναι.*

25

Tz. Lyc. 266 *Στησίχορος γὰρ καὶ Εὐφορίων καὶ Ἀλέξανδρις ὁ Αἰτωλὸς ποιηταί φασι τὸν Ἕκτορα υἱὸν εἶναι τοῦ Ἀπόλλωνος.*

26

Sch. Eur. *Andr.* 10 [*ῥιφθέντα πύργων Ἀστυάνακτ' ἀπ' ὀρθίων*]· . . . *Στησίχορον μέντοι ἱστορεῖν*[1] *ὅτι τεθνήκοι καὶ τὸν τὴν Περσίδα συντεταχότα . . . ποιητήν, ὅτι καὶ ἀπὸ τοῦ τείχους ῥιφείη.*

27

Paus. 10. 26. 1 [*π. τοῦ αὐτοῦ*]· *Κλυμένην μὲν οὖν Στησίχορος ἐν Ἰλίου Περσίδι κατηρίθμηται ἐν ταῖς αἰχμαλώτοις.*

28

Ibid. 9 [*π. τοῦ αὐτοῦ*]· *ἐν δὲ ταῖς Πριάμου θυγατράσι ἀριθμήσαι τις ἂν καὶ ταύτην* (Μέδουσαν) *κατὰ τοῦ Ἰμεραίου τὴν φδήν.*

29

Harpocr. *καθελών· . . . ἀντὶ τοῦ ἀνελὼν ἢ ἀποκτείνας· ἐχρήσαντο δὲ οὕτω τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλίου Περσίδι καὶ Σοφοκλῆς ἐν Εὐμήλῳ.*

30

Ath. 13. 610c *ἐὰν μὲν τίς σου πύθηται τίνες ἦσαν οἱ εἰς τὸν δούριον ἵππον ἐγκατακλεισθέντες, ἑνὸς καὶ δευτέρου ἴσως ἐρεῖς ὄνομα, καὶ οὐδὲ ταῦτ' ἐκ τοῦ Στησιχόρου, σχολῇ γάρ, ἀλλ' ἐκ τῆς Σακάδα τοῦ*[2] *Ἀργείου Ἰλίου Περσίδος· οὗτος γὰρ παμπόλλοις τινὰς κατέλεξεν.*

[1] Cob: mss **Στησίχορος** and *ἱστορεῖ*: the statement is dependent on *φασίν* [2] Cas: mss *σακατου*

24

Pausanias *Description of Greece* [on the painting by Polygnotus in the public arcade at Delphi]: Stesichorus says of Hecuba in the *Sack of Troy*, that she was taken by Apollo into Lycia.

25 [1]

Tzetzes on Lycophron: The poets Stesichorus, Euphorion, and Alexander of Aetolia make Hector the son of Apollo.

26

Scholiast on Euripides *Andromache* ['Astyanax hurled from the dizzy walls']: Stesichorus, however, relates that he was killed,[2] and the poet who composed the *Sack* that he was also thrown from the wall.

27

Pausanias [on the same painting]: Clymenê[3] is numbered among the captive women by Stesichorus in his *Sack of Troy*.

28

The Same [on the same]: Medusa also according to the poem of the Himeraean may be reckoned among the daughters of Priam.

29 [4]

Harpocration *Lexicon to the Ten Orators*: καθελών for ἀνελών 'having slain.' This word is so used elsewhere, as for instance by Stesichorus in the *Sack of Troy* and by Sophocles in the *Eumelus*.

30

Athenaeus *Doctors at Dinner*: If you are asked the names of the warriors who were shut up in the Wooden Horse, you will perhaps give one or two, and even these you will hardly get from the works of Stesichorus, but from the *Sack of Troy* by Sacadas of Argos, who gives a long list of them.

[1] cf. Ibid. 658, Sch. *Il.* 24. 259, Ibyc. 38 [2] or 'was killed first'? [3] handmaid of Helen *Il.* 3. 144 (athetised by Aristarchus) [4] cf. Phot. 122. 1, Suid. καθελών, Zon. 1165

Eust. 1698 init. *φασὶ δὲ τοὺς εἰς αὐτὸν κατάβαντας τινὲς μέν, ὧν καὶ Στησίχορος, ἑκατὸν εἶναι, ἕτεροι δὲ δώδεκα.*

31

Sch. Eur. *Or.* 1287 [ἆρ' ἐς τὸ κάλλος ἐκκεκώφωται ξίφη;]· ἆρα εἰς τὸ τῆς Ἑλένης κάλλος βλέψαντες οὐκ ἐχρήσαντο τοῖς ξίφεσιν; οἷόν τι καὶ Στησίχορος ὑπογράφει περὶ τῶν καταλεύειν αὐτὴν μελλόντων· φησὶ γὰρ ἅμα τῷ τὴν ὄψιν αὐτῆς ἰδεῖν αὐτοὺς ἀφεῖναι τοὺς λίθους ἐπὶ τὴν γῆν.

---

32 Κέρβερος

Poll. 10. 152 *ἀρύβαλλος δὲ ἐπὶ τοῦ συσπάστου βαλλαντίου ἐν Ἀντιφάνους Αὐτοῦ ἐρῶντι καὶ ἐν τῷ Στησιχόρου Κερβέρῳ.*

33 Κύκνος

Sch. Pind. *O.* 10. 19 [*τράπε δὲ Κυκνεία μάχα καὶ ὑπέρβιον Ἡρακλέα*]· *ἐτράπη δὲ καὶ ὑπεχώρησεν ἐν τῇ πρὸς τὸν Κύκνον μάχῃ ὁ μέγιστος Ἡρακλῆς παρορμήσαντος Ἄρεος τὸν Κύκνον. ἐμαχέσατο δὲ Ἡρακλῆς ὅτι κακόξενος ἦν Κύκνος καὶ ἐν παροδῷ τῆς Θεσσαλίας οἰκῶν ἀπεκαρατόμει τοὺς παριόντας ναὸν τῷ Ἀπόλλωνι βουλόμενος ἐκ τῶν κεφαλῶν οἰκοδομῆσαι, καὶ αὐτῷ περιόντι ἐπιβουλεῦσαι ἠθέλησε. συστάσης οὖν αὐτοῖς μάχης ἐφυγάδευσεν Ἡρακλῆς, συμβαλλομένου Ἄρεος τῷ παιδὶ Κύκνῳ. ἀλλ' ὕστερον Ἡρακλῆς καὶ τοῦτον ἀπέκτεινε. Στησίχορος ἐν <τῷ> ἐπιγραφομένῳ Κύκνῳ ἱστορεῖ.*

34 Νόστοι

Paus. 10. 26. 1 [*π. τὴν ἐν λέσχῃ Δελφῶν γραφὴν τὴν Πολυγνώστου*]· *ὡσαύτως δὲ καὶ Ἀριστομάχην ἐποίησεν ὁ Στησίχορος ἐν Νόστοις θυγατέρα μὲν Πριάμου Κριτολάου δὲ γυναῖκα εἶναι τοῦ Ἱκετάονος.*

Eustathius on the *Odyssey*: According to some authorities, including Stesichorus, the warriors in the Wooden Horse were a hundred in number; others say twelve.

31

Scholiast on Euripides *Orestes* ['are their swords stunned at her beauty?']: That is, has the sight of Helen's beauty disarmed them? Compare what Stesichorus implies about the men who went to stone her, saying that the moment they saw her face they let the stones fall from their hands.

32[1] Cerberus

Pollux *Vocabulary*: 'Αρύβαλλος is used for a drawpurse in Antiphanes' *Self-Lover* and in the *Cerberus* of Stesichorus.

33 Cycnus

Scholiast on Pindar *Olympians* ['the fight with Cycnus turned even the conquering Heracles about']: The great Heracles was turned about or gave ground in his fight with Cycnus because Cycnus was set on by Ares. The cause of Heracles' fighting him was his inhospitality; for he lived in the Pass of Thessaly and beheaded travellers in order to build a temple to Apollo with their heads, and when Heracles came that way was for serving him the same. Upon their joining battle Heracles took to flight because Ares aided the youthful Cycnus. But afterwards Heracles killed him like the rest of his enemies. The story is told by Stesichorus in the work called *Cycnus*.

34[2] The Return from Troy

Pausanias *Description of Greece* [on the painting by Polygnotus in the public arcade at Delphi]: In the same way Stesichorus in his poem the *Return from Troy* makes Aristomachè daughter of Priam and wife of Critolaus son of Hicetaon.

[1] cf. Bek. *An.* 1. 448. 27, Suid. ἀρίβαλλος [2] cf. Tzet. *Posth.* 750, Phal. *Ep.* 9

35–43 Ὀρεστεία

Bek. *An.* 2. 783. 14 *Στησίχορος δὲ ἐν δευτέρῳ Ὀρεστείας τὸν Παλαμήδην λέγει εὑρηκέναι (τὰ στοιχεῖα).*

36

Sch. Ar. *Pac.* 775 [*Μοῦσα σὺ μὲν πολέμους ἀπωσαμένη μετ' ἐμοῦ | τοῦ φίλου χόρευσον κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας | καὶ θαλίας μακάρων· σοὶ γὰρ τάδ' ἐξ ἄρχης μέλει]· τὸ χ πρὸς τὴν ἀλλαγὴν τοῦ μέτρου· αὕτη δὲ πλοκή ἐστι καὶ ἔλαθεν· σφόδρα δὲ γλαφυρὸν εἴρηται καὶ ἔστι Στησιχόρειος.

Μοῦσα, σὺ μὲν πολέμους ἀπωσαμένα μετ' ἐμεῦ
κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας
καὶ θαλίας μακάρων . . .

37, 38

Ibid. 797 and 800 [*τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων | τὸν σοφὸν ποιητὴν | ὑμνεῖν ὅταν ἠρινὰ μὲν φωνῇ χελιδὼν ἡδυμένῃ κελαδῇ*]· . . . *ἔστι δὲ παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ὀρεστείας· Τοιάδε κ.τ.λ.*—(800) *καὶ αὕτη πλοκὴ Στησιχόρειος· φησὶ γὰρ οὕτως· Ὅταν κ.τ.λ.*

Τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων
ὑμνεῖν Φρύγιον μέλος ἐξευρόντας ἁβρῶς
ἦρος ἐπερχομένου.[1]

. . . ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών.

39

Ath. 12. 513a *πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρεστείαν καλουμένην.*

[1] *ἐξευρόντας* Kleine : mss *-τα*

[1] cf. Ibid. 786. 11, Cram. *A.O.* 4. 318. 19, Sch. Hom. *Ox.*

35[1]–43 The Tale of Orestes[2]

Bekker *Inedita*: According to the Second Book of Stesichorus' *Oresteia* the alphabet was invented by Palamedes.[3]

36

Scholiast on Aristophanes *Peace* ['Come, Muse, thrust wars away and dance with me your friend in honour of a wedding of Gods and a feast of men and eke a merrymaking of the Blest; for such has always been thy care']: The mark refers to the change of metre. It is an 'intermixture' [or mingling of the author's words with another's] which has escaped notice. The passage is very neatly done and the original is by Stesichorus.

Come, Muse, thrust wars away, and with me in honour of a wedding of Gods and a feast of men and eke a merrymaking of the Blest . . .[4]

37, 38

Scholiast on the same (later) ['Such roundelays of the fair-tressed Graces must the clever poet sing when the glad voice of the swallow babbles of the Springtide']: This comes from the passage of Stesichorus in the *Tale of Orestes*: 'Such' etc. (again) This too is an 'intermixture' of Stesichorus who says: 'When' etc.

Such roundelays of the fair-tressed Graces must we find out a gentle Phrygian tune to sing, at the Spring-time's coming in.

. . . . . .

. . . when the swallow babbles in the Springtide.

39

Athenaeus *Doctors at Dinner*: Stesichorus has drawn a great deal upon Xanthus, for instance upon his *Oresteia* as it is called.

Pap. 1087. 48 [2] cf. *fr.* 59 [3] cf. Eur. *fr.* 578 N, Sch. Ar. *Thesm.* 771 [4] how much is S. and how much A. is not certain

39 A

Philod. π. εὐσεβείας 24 Gomp. (*Vol. Herc. Coll. nov.* 2. 52) Στη[σίχορο]ς δ' ἐν Ὀρεστεί[α κατ]ακολουθήσας [Ἡσιό]δῳ τὴν Ἀγαμέ[μνονος Ἰ]φιγένειαν εἰ[ναι τὴ]ν Ἑκάτην νῦν [ὀνομαζ]-ομένην . . .

40

Sch. Eur. *Or.* 46 *φανερὸν ὅτι ἐν Ἄργει ἡ σκηνὴ τοῦ δράματος ὑποκεῖται· Ὅμηρος δὲ ἐν Μυκήναις φησὶν εἶναι τὰ βασίλεια τοῦ Ἀγαμέμνονος, Στησίχορος δὲ καὶ Σιμωνίδης ἐν Λακεδαίμονι.*

41

Ibid. 268 [*δὸς τόξα μοι κερουλκά, δῶρα Λοξίου*]· Στησιχόρῳ *ἑπόμενος τόξα φησὶν αὐτὸν (τὸν Ὀρέστην) εἰληφέναι παρὰ Ἀπόλλωνος.*

42

Sch. Aesch. *Cho.* 733 Κίλισσαν δέ *φησι τὴν Ὀρέστου τρόφον, Πίνδαρος δὲ Ἀρσινόην, Στησίχορος Λαοδάμειαν.*

43

Plut. *Sera N. V.* 10 *ὥστε πρὸς τὰ γενόμενα καὶ πρὸς τὴν ἀλήθειαν ἀποπλάττεσθαι τὸ τῆς Κλυταιμνήστρας ἐνύπνιον τὸν Στησίχορον, οὑτωσί πως λέγοντα·*

τᾷ δὲ δράκων ἐδύκησε μολεῖν κάρα βεβροτώ-
μενος ἄκρον,
ἐκ δ' ἄρα τοῦ βασιλεὺς Πλεισθενίδας ἐφάνη.[1]

44 Σκύλλα

Sch. Ap. Rh. 4. 828 [Σκύλλης Αὐσονίης *ὀλοόφρονος ἦν τέκε Φόρκυν*]· . . . Στησίχορος δὲ *ἐν τῇ Σκύλλῃ*[2] Λαμίας *τὴν Σκύλλαν φησὶ θυγατέρα εἶναι.*

[1] *τᾷ δὲ* Reis: mss *τάδε·* [2] one ms inserts *εἴδους τινος*, a gloss either on Λ. 'a ghost' or corrupted from *Εἰδοῦς τινες* 'some say Eido' = Eidothea (Wüstheim

39 A

Philodemus *On Piety*: Stesichorus in the *Oresteia* follows Hesiod in identifying Iphigeneia daughter of Agamemnon with her whom we now call Hecate.[1]

40

Scholiast on Euripides *Orestes*: It is clear that the scene of the play is laid at Argos, whereas Homer puts Agamemnon's palace at Mycenae, and Stesichorus and Simonides at Sparta.

41

The Same ['Give me the horn-tipped bow that Loxias gave']: He follows Stesichorus in saying that Orestes received it from Apollo.

42

Scholiast on Aeschylus *Libation Bearers*: He calls Orestes' nurse Cilissa (Cilician), whereas Pindar calls her Arsinoë and Stesichorus Laodameia.

43

Plutarch *On the Slow Revenge of the Deity*: And so it seems that Stesichorus has modelled Clytemnestra's dream on real happenings and the truth of the matter, where he says, if I remember rightly:

> She dreamt there came a serpent with a bloodied crest, and out of it appeared a king of Pleisthenes' line.[2]

44[3] Scylla

Scholiast on Apollonius of Rhodes *Argonautica* ['the baleful Scylla of Ausonia, offspring of Phorcyn']: . . . According to Stesichorus in the *Scylla*, Scylla was the daughter of Lamia.

[1] cf. Paus. 1. 43. 1, 2. 22. 7 [2] *i.e.* not, after all, of the new dynasty of Aegisthus (so Vürtheim) [3] cf. Cram. *A.P.* 3. 479. 14, Eust. *Od.* 1714. 34

45 Συοθῆραι

Ath. 3. 95 d [π. ῥύγχους]· Στησίχορος δέ φησιν ἐν Συοθήραις·

. . . . κρύψε δὲ ῥύγχος
ἄκρον γᾶς ὑπένερθεν.[1]

46 Καλύκα

Ibid. 14. 619 d Ἀριστόξενος δὲ ἐν δ' περὶ Μουσικῆς 'ἥδον' φησιν 'αἱ ἀρχαῖαι γυναῖκες Καλύκην τινὰ ᾠδήν. Στησιχόρου δ' ἦν ποίημα ἐν ᾧ Καλύκη τις ὔνομα ἐρῶσα Εὐάθλου νεανίσκου ηὔχετο[2] τῇ Ἀφροδίτῃ γαμηθῆναι αὐτῷ, ἐπεὶ δὲ ὑπερεῖδεν ὁ νεανίσκος, κατεκρήμνισεν ἑαυτήν. ἐγένετο δὲ ὁ πάθος περὶ Λευκάδα. σωφρονικὸν δὲ πάνυ κατεσκεύασεν ὁ ποιητὴς τὸ τῆς παρθένου ἦθος, οὐκ ἐκ παντὸς τρόπου θελούσης συγγενέσθαι τῷ νεανίσκῳ, ἀλλ' εὐχομένης εἰ δύναιτο γυνὴ τοῦ Εὐάθλου γενέσθαι κουριδία, ἢ εἰ τοῦτο μὴ δυνατὸν ἀπαλλαγῆναι τοῦ βίου.'

47–48 Ῥαδίνα

Str. 8. 347. 20 [π. Τριφυλίας]· καὶ πεδίον δ' αὐτόθι καλεῖται Σαμικόν· ἐξ οὗ πλέον ἄν τις τεκμαίροιτο ὑπάρξαι ποτὲ πόλιν τὴν Σάμον. καὶ ἡ Ῥαδίνη δὲ ἦν Στησίχορος ποιῆσαι δοκεῖ, ἧς ἀρχή

Ἄγε Μοῦσα λίγει', ἄρξον ἀοιδᾶς ἐρατωνύμου[3]
Σαμίων περὶ παίδων ἐρατᾷ φθεγγομένα λύρᾳ,

ἐντεῦθεν λέγει τοὺς παῖδας· ἐκδοθεῖσαν γὰρ τὴν Ῥαδίνην ἐς Κόρινθον τυράννῳ φησὶν ἐκ τῆς Σάμου πλεῦσαι πνέοντος ζεφύρου, οὐ δήπουθεν τῆς Ἰωνικῆς Σάμου· τῷ δὲ αὐτῷ ἀνέμῳ καὶ ἀρχιθέωρον εἰς Δελφοὺς τὸν ἀδελφὸν αὐτῆς ἐλθεῖν· καὶ τὸν ἀνεψιὸν ἐρῶντα αὐτῆς ἅρματι εἰς Κόρινθον ἐξορμῆσαι παρ' αὐτήν· ὅ τε τύραννος κτείνας ἀμφοτέρους ἅρματι ἀποπέμπει τὰ σώματα, μεταγνοὺς δὲ ἀνακαλεῖ καὶ θάπτει.

[1] κρύψε Dind : mss -αι [2] mss εὔχεται [3] *B* : mss ἐρατῶν ὕμνους

---

[1] Eust. *Il.* 1236. 62 [2] for name and source?) Vürtheim

STESICHORUS

45 The Boar-Hunters

Athenaeus *Doctors at Dinner* [on the word ῥύγχος 'snout']: Compare Stesichorus in the *Boar-Hunters*:

and buried the tip of his snout in the ground.

46[1] Calycè

The Same: To quote the 4th Book of Aristoxenus *On Music*, 'In former times the women had a song called *Calycè*. It was a poem of Stesichorus in which a maiden called Calycè prayed to Aphrodite that she might be wedded to a youth called Euathlus, and when he flouted her threw herself over a cliff. The scene was laid near Leucas. The poet gave the maiden a very virtuous character; for she had no wish that she and the youth should come together at all hazards, but prayed that she might if possible be his wedded wife, or failing that might die.'[2]

47–48 Rhadinè

Strabo *Geography* [on Triphylia in Elis]: Moreover there is a plain there called Samian; from which it may further be inferred that there was once a city of Samos at the spot. Again the *Rhadinè* ascribed to Stesichorus[3] which begins

Come Muse sweet and clear, begin thou the lovely-named lay of the Samian children, crying aloud on thy lovely lyre,

describes the children as of this Samos. For the poet tells how Rhadinè when wedded to a despot at Corinth sailed from Samos thither with a south-west wind—certainly not the Ionian Samos; and with the same wind her brother arrived at the head of a sacred mission at Delphi; moreover her cousin-lover goes off after her to Corinth in a chariot, and the despot kills them both and sends the bodies back in a chariot, though indeed he repents and recalls it, and buries them.

[1] compares Sch. Ap. Rh. 4. 57

[2] Strabo's doubt

[3] metre perh. favours

48

Paus. 7. 5. 6 [*π. τῆς Ἰωνικῆς Σάμου*]· *Σαμίοις δὲ κατὰ τὴν ὁδὸν τὴν ἐς τὸ Ἡραῖον τὸ Ῥαδίνης καὶ Λεοντίχου μνῆμά ἐστι, καὶ τοῖς ὑπὸ ἔρωτος ἀνιωμένοις εὔχεσθαι καθέστηκεν ἰοῦσιν ἐπὶ τὸ μνῆμα.*

49

Eust. *Il.* 10. 1 *οὐ μόνον γὰρ Ἡσίοδος ἐκ τῆς τῶν Μουσῶν ἐπικλήσεως ἄρχεται . . . Στησίχορος δὲ τὸ κύριον ἐκφωνεῖ ἐν τῷ·*

Δεῦρ' ἄγε, Καλλιόπεια λίγεια.

50

Ath. 4. 154 f *ὅποτε δὲ παροξύνεται, τὸ μάχεσθαι ῥῆμα περιέχει, ὡς ἐν τῷ πυγμάχος, ναυμάχος,*

αὐτόν σε, πυλαιμάχε, πρῶτον,[1]

παρὰ Στησίχορῳ,

51

Sch. *Il.* 6. 507 [*κροαίνων*]· *κυμβαλίζων· καὶ ἐρίγδουποι καὶ ὑψήχεες ἵπποι· Στησίχορος κοιλωνύχων ἵππων πρύτανιν τὸν Ποσειδῶνά φησιν.*

e. g. κοιλωνύχων ἵππων πρύτανις Ποτειδᾶν

52

Plut. *de EI* 21 *εἰκότως οὖν ὁ Εὐριπίδης εἶπε· 'Λοιβαὶ νεκύων φθιμένων, | ἀοιδαί, τὰς χρυσοκόμας | Ἀπόλλων οὐκ ἐνδέχεται,' καὶ πρότερός ἔτι τούτου ὁ Στησίχορος·*

. . . . μάλα τοι μελιστᾶν[2]
παιγμοσύνας <τε> φιλεῖ μολπάς τ' Ἀπόλλων
κάδεα δὲ στοναχάς τ' Ἄϊδας ἔλαχεν.

[1] mss πυλαμάχε, but cf. Hesych. [2] *B*: mss μάλιστα; Wil. χορεύματά τοι μάλιστα

48

Pausanias *Description of Greece* [on the Ionian Samos]: At the side of the road leading to the temple of Hera the Samians have the tomb of Rhadinè and Leontichus, to which distressed lovers resort to pray.

—

49

Eustathius on the *Iliad*: For Hesiod is not the only poet who begins with the invocation to the Muses . . . Stesichorus raises the proper cry in the words:

Come hither, Calliopè the sweet and clear.

50[1]

Athenaeus *Doctors at Dinner*: But when the compound is accented paroxytone it includes (not the noun μάχη but) the verb μάχεσθαι 'to fight,' as in πυγμάχος 'pugilist,' ναυμάχος 'naval combatant,' and

thyself first, thou fighter in the gate,

from Stesichorus.

51

Scholiast in the *Iliad* ['clattering,' of a galloping horse's hoofs]: like the cymbals; horses are elsewhere called 'thundering' and 'loud-ringing.' Stesichorus says

prince of the hollow-hoovèd steeds, Poseidon

52

Plutarch *On the E at Delphi*: Euripides, then, was right in saying 'Libations for the dead, songs which golden-haired Apollo accepteth not,'[2] and before him Stesichorus:

Well doth Apollo love the merry play and the music of the makers of song, but as for mourning and lament, they belong to the grave.

[1] cf. Sch. Ven. *Il.* 5. 31 τῷ παρὰ Σ. πολεμάχῳ [2] *Suppl.* 975

53

Stob. *Fl.* 124. 15 [παρηγορικά]· Στησιχόρου·

ἀτέλεστά τε γὰρ καὶ ἀμάχανα τοὺς θανόντας κλαίειν.[1]

54

Ibid. 126. 5 [ὅτι τῶν πλείστων μετὰ θάνατον ἡ μνήμη διαρρεῖ ταχέως]· Στησιχόρου·

θανόντος ἀνδρὸς πᾶσ' ἀπόλλυθ' ἁ ποτ' ἀνθρώπων χάρις.[2]

55

Sch. Ap. Rh. 3. 106 [τῆς δ' Ἥρη ῥαδινῆς ἐπεμάσσατο χειρός]· ῥαδινῆς· *τρυφερᾶς* . . . Στησίχορος ἐπὶ τοῦ εὐτόνου·

ῥαδινοὺς δ' ἐπέπεμπον ἄκοντας.

56

Ibid. 1. 230 [ἐπεὶ Μινύαο θυγάτρων | οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ' αἵματος εὐχετόωντο | ἔμμεναι]· ὁ γὰρ Μινύας πολλὰς εἶχεν θυγατέρας· καὶ γὰρ ὁ Ἰάσων Ἀλκιμέδης ἐστὶ τῆς Κλυμένης τῆς Μινύου θυγατρός· Στησίχορος δὲ Ἐτεοκλυμένης φησίν.

57

Sch. Eur. *Rhes.* [τετράμοιρον νυκτὸς φρουράν]· ὅτι οἱ ἀρχαῖοι εἰς τρεῖς φυλακὰς νέμουσι τὴν νύκτα . . . Στησίχορος δὲ καὶ[3] Σιμωνίδης πεντεφύλακόν φησιν ὑποτίθεσθαι τὴν νύκτα.

58

Arist. *H.A.* 5. 9 *πάντων δὲ σπανιώτατον ἰδεῖν ἀλκυόνα ἐστί· σχεδὸν γὰρ περὶ Πλειάδος δύσιν καὶ τροπὰς ὁρᾶται μόνον, καὶ ἐν τοῖς ὑφόρμοις πρῶτον ὅσον περιπταμένη περὶ τὸ πλοῖον ἀφανίζεται εὐθύς· διὸ καὶ Στησίχορος τοῦτον τὸν τρόπον ἐμνήσθη περὶ αὐτῆς.*

[1] ἀτέλεστά τε Ahr.: mss ἀτελέστατα, ἀτέλεστα [2] *E*: mss πᾶσ' ὄλυτ' ἀ.χ., πᾶσα πολιά ποτ' ἀ.χ. [3] *E*, for φησιν cf. Simon. 225: mss ὁ

53

Stobaeus *Anthology* [Words of Consolation]: Stesichorus:

'Tis a vain and impotent thing to bewail the dead.

54

The Same [That the Memory of most Men perishes quickly after Death]: Stesichorus:

When a man dies, all his glory among men dies also.

55

Scholiast on Apollonius of Rhodes *Argonautica* ['Hera took her by the slender hand']: ῥαδινῆς 'slender,' here used to mean 'delicate' . . . Stesichorus uses it to mean 'vigorous':

and they launched the slender javelins.

56[1]

The Same ['For of the blood of the daughters of Minyas did the most and best of them boast to be']: Minyas had many daughters; Jason himself is the son of Alcimedè daughter of Clymenè daughter of Minyas, though Stesichorus indeed calls her Eteoclymenè.

57

Scholiast on Euripides *Rhesus* ['the four-part watch of night']: The ancients divide the night into three watches. . . but Stesichorus and Simonides make it of five watches.

58

Aristotle *History of Animals*: It is an extremely rare thing to see a halcyon. They are seen almost only about the setting of the Pleiades and the winter solstice, and then only just flying round ships at anchor and disappearing, a characteristic which is mentioned by Stesichorus.[2]

[1] perh. belongs to the *Pelias* (1–4)

[2] cf. Ap. Rh. 1. 1086 and Sch.

59

Ath. 12. 512f *τοῦτον οὖν (τὸν Ἡρακλέα, φησὶν (ὁ Μεγακλείδης), οἱ νέοι ποιηταὶ κατασκευάζουσιν ἐν ληστοῦ σχήματι μόνον περιπορευόμενον, ξύλον ἔχοντα καὶ λεοντῆν καὶ τόξα· καὶ ταῦτα πλάσαι πρῶτον Στησίχορον τὸν Ἱμεραῖον. καὶ Ξάνθος δ' ὁ μελοποιός, πρεσβύτερος ὢν Στησιχόρου, ὡς καὶ αὐτὸς ὁ Στησίχορος μαρτυρεῖ, ὥς φησιν ὁ Μεγακλείδης, οὐ ταύτην αὐτῷ περιτίθησι τὴν στολήν, ἀλλὰ τὴν Ὁμηρικήν. πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος ὥσπερ καὶ τὴν Ὀρεστείαν καλουμένην.*

60

Paus. 9. 11. 1 *ἐπιδεικνύουσι δὲ (οἱ Θηβαῖοι) Ἡρακλέους τῶν παίδων τῶν ἐκ Μεγάρας μνῆμα, οὐδέν τι ἀλλοίως τὰ ἐς τὸν θάνατον λέγοντες ἢ Στησίχορος ὁ Ἱμεραῖος καὶ Πανύασσις ἐν τοῖς ἔπεσιν ἐποίησαν.*

61

Plut. *Herod. Mal.* 14 *καίτοι τῶν παλαιῶν καὶ λογίων ἀνδρῶν οὐχ Ὅμηρος, οὐχ Ἡσίοδος, οὐκ Ἀρχίλοχος, οὐ Πείσανδρος, οὐ Στησίχορος, οὐκ Ἀλκμάν, οὐ Πίνδαρος Αἰγυπτίου ἔσχον λόγον Ἡρακλέους ἢ Φοίνικος, ἀλλ' ἕνα τοῦτον ἴσασι πάντες Ἡρακλέα τὸν Βοιώτιον ὁμοῦ καὶ Ἀργεῖον.*

62

E.M. 772. 49 *Τυφωεύς· Ἡσίοδος αὐτὸν Γῆς γενεαλογεῖ, Στησίχορος δὲ Ἥρας μόνης κατὰ μνησικακίαν Διὸς τεκούσης αὐτόν.*

63

Apollod. 3. 10. 3 *Κυνόρτου δὲ Περιήρης, ὃς γαμεῖ Γοργοφόνην τὴν Περσέως, καθάπερ Στησίχορός φησι, καὶ τίκτει Τυνδάρεων, Ἰκάριον, Ἀφαρέα, Λεύκιππον.*

---

[1] cf. Eust. 1279. 8 [2] prob. in the last part ('seal of

59 [1]

Athenaeus *Doctors at Dinner*: According to Megacleides the more modern poets represent Heracles as going about only in the guise of a robber, with club, lion-skin, and bow, the fashion being set by Stesichorus of Himera. And indeed the lyric poet Xanthus, who comes earlier than Stesichorus, as the latter testifies,[2] does not, if we may believe Megacleides, dress him in this part but in that given him by Homer, though Stesichorus in many respects imitates Xanthus, for instance in the poem called the *Tale of Orestes*.

60

Pausanias *Description of Greece*: The Thebans show the tomb of the children born by Megara to Heracles, giving a similar account of their death to that we read in Stesichorus of Himera and in the epic poems of Panyassis.

61

Plutarch *The Malignity of Herodotus*: And yet among the ancient men of letters neither Homer, nor Hesiod, nor Archilochus, nor Peisander, nor Stesichorus, nor Alcman, nor Pindar, knew anything of an Egyptian or Phoenician Heracles, but all know this one Heracles who was both of Boeotia and of Argos.

62

Etymologicum Magnum: Typhoeus:—Hesiod makes him a son of Earth, but Stesichorus says that Hera bore him as a virgin-birth out of spite to Zeus.[3]

63 [4]

Apollodorus *Library*: From Cynortes sprang Perieres, who, as Stesichorus relates, married Gorgophonè daughter of Perseus, and had by her Tyndareüs, Icarius, Aphareus, and Leucippus.

one of his poems, cf. Timoth. *Persae* [3] cf. *Hom. H. Pyth. Apoll.* 129 ff [4] cf. Tzetz. Lyc. 511

64

Sch. Ap. Rh. 4. 1310 [Ἀθήνην, | ἣ ς ὕτ' ἐκ πατρὸς κεφαλῆς θόρε παμφαίνουσα]· πρῶτος Στησίχορος ἔρη σὺν ὅπλοις ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναπηδῆσαι τὴν Ἀθηνᾶν.

65

Str. 1. 42 Ἡσίοδος δ' ἐν Καταλόγῳ φησί· 'Καὶ κούρην Ἀράβοιο τὸν Ἑρμάων ἀκάκητα | γείνατο καὶ Θρονίη κούρη Βήλοιο ἄνακτος.' οὕτω δὲ καὶ Στησίχορος λέγει.

66

Vibius Seq. *Flum.* 11 Oberl.: Himera oppido Thermitanorum dedit nomen Himerae. hoc flumen in duas findi partes ait Stesichorus, unam in Tyrrhenum mare alteram in Libycum decurrere.

67

Him. *Or.* 29. 3 κυσμεῖ μὲν γὰρ Ἀνακρέων τὴν Τηΐων πόλιν τοῖς μέλεσι κἀκεῖθεν ἄγει τοὺς ἔρωτας· κοσμεῖ δὲ καὶ Ἀλκαῖος τὴν Λέσβον καὶ πανταχοῦ τῶν μελῶν προσάγει Μυτιλήνην· καὶ Σιμωνίδῃ καὶ Βακχυλίδῃ ἡ Ἴουλις ἐσπούδασται· τὴν δὲ Ἰμέραν τὴν Σικελικὴν οὐκ ἐλευθέραν ποιεῖ μόνον τῶν τυράννων ἀλλὰ καὶ λυγοῖς κοσμεῖ Στησίχορος.[1]

68

Ael. *H. A.* 17. 37 Ἁμῶντες[2] ἄνθρωποι τὸν ἀριθμὸν ἑκκαίδεκα τοῦ ἡλίου καταφλέγοντος δίψῃ πιεζόμενοι ἕνα ἑαυτῶν ἀπέστειλαν ἐκ πηγῆς γειτνιώσης κομίσαι ὕδωρ. οὐκοῦν ὁ ἀπιὼν τὸ μὲν δρέπανον τὸ ἀμητικὸν διὰ χειρὸς εἶχε, τὸ δὲ ἀρυστικὸν ἀγγεῖον κατὰ τοῦ ὤμου ἔφερεν. ἐλθὼν δὲ καταλαμβάνει ἀετὸν ὑπό τινος ὄφεως ἐγκρατῶς τε καὶ εὐλαβῶς περιπλακέντα ἀποπνιγόμενον ἤδη. ἔτυχε δὲ ἄρα καταπτὰς μὲν ἐπ' αὐτὸν ὁ ἀετός, οὐ μὴν κρείττων γενόμενος, οὐδὲ τῆς ἐπιβουλῆς ἐγκρατὴς ἐγένετο, οὐδὲ— τοῦτο δὴ τὸ Ὁμηρικόν—τοῖς ἑαυτοῦ τέκνοις τὴν δίκτα ἐκόμισεν, ἀλλὰ ταῖς ἐκείνου σπείραις περιπεσὼν ἔμελλεν οὐ μὰ Δί' ἀπολεῖν ἀλλ' ἀπολεῖσθαι. εἰδὼς οὖν ὁ γεωργὸς ἀκούων τὸν μὲν εἶναι Διὸς

[1] new text, Schenkl *Hermes* 1911. 420 [2] Reiske: mss ἁλοῶντες

64

Scholiast on Apollonius of Rhodes *Argonautica* ['Athena, when she leapt all gleaming from her father's head']: Her leaping armed from the head of Zeus is first mentioned by Stesichorus.

65

Strabo *Geography*: To quote Hesiod's *Catalogue of Women*, 'And the daughter of Arabus whom guileless Hermaon begat of Thronia daughter of king Belus.' So too Stesichorus.

66

Vibius Sequester *On Rivers*: The Himera has given its name to the town of the Thermitani. According to Stesichorus it divides into two parts, one flowing into the Tyrrhenian Sea, the other into the Libyan.

67

Himerius *Orations*: Anacreon adorns with his songs the city of Teos, and derives from it his loves; Alcaeus adorns Lesbos and fills his poems with Mytilenè; Simonides and Bacchylides have set their hearts upon Iulis; and Sicilian Himera is not only freed from despots but adorned with words by Stesichorus.

68

Aelian *Natural History*: Some reapers one day, being very thirsty because of the burning heat, sent one of their number —it was sixteen [1]—to fetch water from a neighbouring spring. This man, who went sickle in hand with the pitcher on his shoulder, found when he reached the place an eagle held so irresistibly in the coils of a snake that he must very soon be crushed to death. It seems the eagle had pounced on the snake, but failing to make good his design, instead of carrying off, as Homer says, supper to his children, became encircled in those coils and was like rather to be slain than to slay. Having heard that the eagle is the messenger and minister of Zeus, and well knowing that the snake is an evil

[1] this seems pointless; text perhaps corrupt

ἄγγελον καὶ ὑπηρέτην, εἰδώς γε μὴν κακὸν θηρίον τὸν ὄφιν, τῷ δρεπάνῳ τῷ προειρημένῳ διακόπτει τὸν θῆρα, καὶ μέντοι καὶ τῶν ἀφύκτων ἐκείνων εἱργμῶν τε καὶ δεσμῶν τὸν ἀετὸν ἀπολύει. ἐδοῦ μέντοι πάρεργον τῷ ἀνδρὶ ταῦτα καὶ δὴ διεπέπρακτο, ἀρυσάμενος δὲ τὸ ὕδωρ ἦκε, καὶ πρὸς τὸν οἶνον κεράσας ὥρεξε πᾶσιν, οἱ δὲ ἄρα ἐξέπιον καὶ ἀμυστὶ καὶ πολλὰς ἐπὶ τῷ ἀρίστῳ. ἔμελλε δὲ καὶ αὐτὸς ἐπ' ἐκείνοις πίεσθαι· ἔτυχε γὰρ ὑπηρέτης κατ' ἐκεῖνό πως τοῦ καίρου ἀλλ' οὐ συμπότης ὤν. ἐπεὶ δὲ τοῖς χείλεσι τὴν κύλικα προσῆγεν, ὁ σωθεὶς ἀετὸς ζωάγρια ἐκτίνων οἱ καὶ κατὰ τύχην ἀγαθὴν ἐκείνου ἔτι διατρίβων περὶ τὸν χῶρον, ἐμπίπτει τῇ κύλικι καὶ ἐκταράττει αὐτὴν καὶ ἐκχεῖ τὸ ποτόν. ὁ δὲ ἠγανάκτησεν—καὶ γὰρ ἔτυχε διψῶν—καὶ λέγει 'Εἶτα μέντοι σὺ ἐκεῖνος ὢν'—καὶ γὰρ τὸν ὄρνιν ἐγνώρισε—'τοιαύτας ἀποδίδως τοῖς σωτῆρσι τὰς χάριτας; ἀλλὰ πῶς ἔτι ταῦτα καλά; πῶς δ' ἂν καὶ ἄλλος σπουδὴν καταθέσθαι θελήσειεν ἔς τινα αἰδοῖ Διὸς χαρίτων ἐφόρου τε καὶ ἐπόπτου;' καὶ τῷ μὲν ταῦτα εἴρητο, καὶ ἐφρύγετο· ὁρᾷ δὲ ἐπιστραφεὶς τοὺς πιόντας ἀσπαίροντάς τε καὶ ἀποθνήσκοντας. ἦν δὲ ἄρα ὡς συμβαλεῖν ἐμημεκὼς ἐς τὴν πηγὴν ὁ ὄφις καὶ κεράσας αὐτὴν τῷ ἰῷ. ὁ μὲν οὖν ἀετὸς τῷ σώσαντι ἰσότιμον τῆς σωτηρίας [1] ἀπέδωκε τὸν μισθόν.

λέγει δὲ Κράτης ὁ Περγαμηνὸς ὑπὲρ τούτων καὶ τὸν Στησίχορον ᾄδειν ἔν τινι ποιήματι οὐκ ἐκφοιτήσαντί [2] που ἐς πολλούς, σεμνόν τε καὶ ἀρχαῖον ὡς γε κρίνειν ἐμὲ τὸν μάρτυρα ἐσάγων.

69

Arg. Hes. *Scut.* καὶ Στησίχορος δέ φησιν Ἡσιόδου εἶναι τὸ ποίημα.

70

Paus. 9. 2. 3 [π. πέτραν τὴν Ἀκταίωνος]· Στησίχορος δὲ ὁ Ἱμεραῖος ἔγραψεν ἐλάφου περιβαλεῖν δέρμα Ἀκταίωνι τὴν θεόν, παρασκευάζουσάν εἰ τὸν ἐκ τῶν κυνῶν θάνατον ἵνα δὴ μὴ γυναῖκα Σεμέλην λάβοι.

71

Plut. *Soll. An.* 36 ἡ δὲ Ὀδυσσέως ἀσπὶς ὅτι μὲν ἐπίσημον εἶχε δελφῖνα καὶ Στησίχορος ἱστόρηκεν.

[1] Hercher: mss σώσαντι ἀμοιβὴν τῆς ἰσοτίμου σωτηρίας
[2] Giesner: mss εἰσφ.

beast, the fellow severs the creature with the aforesaid sickle and thereby frees the eagle from his hopeless bondage. His unlooked for task accomplished, the countryman filled his pitcher, and going back, mixed the wine and handed it round to the company, who all drained both their first cups before the meal and many more along with it, he biding his turn, being for that time as it happened servingman and not guest. But no sooner had he raised cup to lip, than the eagle he had saved, being as luck would have it still near by and willing to make him good return for his service, swoops on the cup, knocks it over, and wastes the drink. The poor fellow, who had been very thirsty, cried out in anger, 'You are the bird I saved'—for he recognised him—'and is this your gratitude? Here's a foul end to a fair deed! How shall any man now trouble himself for another out of fear of the God of thanks?' As he spoke he grew still thirstier, when turning about he sees his comrades that had drunk gasping in the article of death. It seems that the snake had voided his vomit in the spring and fouled it with his venom, and the eagle had returned like with like and saved his saviour.

Crates of Pergamum declares that this tale is told in a little-known poem of Stesichorus, which in my opinion is high and ancient authority.

69

Introduction to Hesiod *Shield of Heracles*: Stesichorus too ascribes the poem to Hesiod.

70

Pausanias *Description of Greece* [on the Rock of Actaeon]: According to Stesichorus of Himera the Goddess wrapped Actaeon in a doeskin, thus making ready for his slaying by the hounds, to prevent his taking Semelè to wife.

71[1]

Plutarch *On the Sagacity of Animals*: Stesichorus too tells that Odysseus' shield was blazoned with a dolphin.

[1] cf. Tz. Lyc. 658

72

Philod. *Mus.* p. 87 K τοὺς ἐ[πὶ τῶν] ἀγώνων ἔτερπεν ὁ Τέρ[παν]δρος· τοὺς δὲ Λάκωνας <μὴ>[1] ἀπειθεῖν προαιρουμένους τῷ μαντείῳ καὶ λόγῳ δ' ἴσως προαχθέντας ἀποτεθεῖσθαι τὴν στάσιν· ἀλλὰ μὴν καὶ τὸ μὲν κατὰ Στησίχορον οὐκ ἀκριβῶς ἱστορεῖται, τὸ δὲ Πινδάρειον εἰ τῆς διχονοίας ἔπαυσεν[2] οὐκ οἶδαμεν. εἰ δ' οὖν ἑκάτερον ἐγένετο διὰ λύγων κατεσκευασμένων ποιητικῶς ἔπαυσαν,[3] οὐ διὰ μελῶν, ἔτι δ' ἂν καθίκοντο μᾶλλον εἰ διὰ πεζῶν ἀπέτρεπον.

73

Sch. *Il.* 23. 91 [ὡς δὲ καὶ ὀστέα νῶϊν δμῇ σόρος ἀμφικαλύπτοι | χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ[4]]· Διόνυσος Ἡφαιστον γενόμενον ἐν Νάξῳ μιᾷ τῶν Κυκλάδων ξενίσας ἔλαβε παρ' αὐτοῦ δῶρον χρύσεον ἀμφορέα· διωχθεὶς δὲ ὕστερον ὑπὸ Λυκούργου καὶ καταφυγὼν εἰς θάλασσαν φιλοφρόνως αὐτὸν ὑποδεξαμένης Θέτιδος ἔδωκεν αὐτῇ τὸν

Ἡφαιστότευκτον ἀμφορέα·

ἡ δὲ τῷ παιδὶ ἐχαρίσατο, ὅτ' ὠ, μετὰ θάνατον ἐν αὐτῷ αὐτοῦ ἀποτεθῇ τὰ ὀστᾶ. ἱστορεῖ Στησίχορος.

74

Plut. *Fac. Lun.* 19 εἰ δὲ μή, Θέων ἡμῖν οὗτος τὸν Μίμνερμον ἐπάξει καὶ τὸν Κυδίαν καὶ τὸν Ἀρχίλοχον, πρὸς δὲ τούτοις Στησίχορον καὶ τὸν Πίνδαρον, ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους τὸν 'φανερώτατον <ἄστρον> κλέπτομενον' καὶ 'μέσῳ ἄματι νύκτα γιγνομέιαν' καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου 'σκότου τ' ἀτραπὸν' φάσκοντας.

75

Et. Vind. cod. clviii.

Ἄϊος·

ὄνομα παρὰ Στησιχόρῳ.

[1] Kemke [2] Hartung: ms ἔπεισεν [3] Hartung: ms ἔ,πε]σ'αν [4] 92 athetised by Aristarchus and omitted by Aeschin. *Tim.* 149

72

παρὰ Ἰβύκῳ ἐστὶν ἔφθαρσαι· καὶ κατὰ πάθος ἔφαρσαι καὶ καθ' ὑπέρθεσιν ἔφρασαι καὶ διέφρασαι· οὕτως Ἡρωδιανός.

60

E.M. 428. 28

ἤλσατο βοῦς

Ἴβυκος παρὰ τὸ ἤλασατο.

[1] see Stes. 79

[2] see Stes. 80

55, 56 [1]

Cramer *Inedita* (*Oxford*): The adjectival ending *-ωσιος* is used by the Rhegines, who regularly form it from the genitive; Ἀνάκων 'of the Dioscuri,' Ἀνακώσιος

belonging to the Dioscuri

χαρίτων 'of graces,' χαριτώσιος

graceful

57

Etymologicum Gudianum: ἄτερπνος:—used by the Rhegines for ἄγρυπνος 'sleepless,' as in Ibycus and Stesichorus.

58

Hesychius *Glossary*: βρυαλίκται:—war-dancers; compare Ibycus or Stesichorus

war-dancers stedfast in the mellay

59 [2]

Old Etymologicum Magnum: διέφρασαι

thou art blind (?)

in Ibycus is ἔφθαρσαι, by loss of θ (?) ἔφαρσαι, and by transposition ἔφρασαι, and so δι.έφραται. Thus Herodian.

60

The Same:

carried off the oxen

in Ibycus; ἤλσατο is for ἠλάσατο.

[1] cf. Ibid. 1. 162. 15 [2] cf. *E.M.* 273. 24

61

Cram. *A.O.* 1. 65. 15 καὶ τὴν κλαγγῇ δοτικὴν[1] εἶπεν ὁ Ἴβυκος

κλαγγί

62

Hdn. π.μ.λ. 2. 943. 26 Lentz Λιβυαφιγενής· ἡ διὰ τοῦ φι ἐπέκτασις οὐδέποτε θέλει κατ' ἀρχὴν συντίθεσθαι, μόνῳ δὲ παρηκολούθησεν[2] ἐπιρρήματι τῷ ἶφι[3] τὸ τοιοῦτον, Ἰφιγένεια, Ἰφικλῆς, Ἰφιάνασσα, καὶ ὅσα ἄλλα τοιαῦτά ἐστι· πεπλάνηται οὖν Ἴβυκος εἰπών·

Λιβυαφιγενής

63

Sch. Ap. Rh. 4. 1348 [στέρφεσιν αἰγείοις ἐζωσμέναι]· τοῖς δέρμασιν, ἔνθεν καὶ στερφῶσαι· Ἴβυκος δὲ

στερφωτῆρα στρατόν

εἴρηκε τὸν ἔχοντα δέρματα.

64

E.M. 763. 41 τραπεζίτης διὰ τοῦ ι σημαίνει τὸν ἐν τῇ συνηθείᾳ λεγόμενον τραπεζίτην, ἀπὸ τοῦ τράπεζα· διὰ δὲ τῆς ει διφθόγγου τὸν ἐν τῇ τραπέζῃ παριστάμενον, ὡς παρ' Ὁμήρῳ 'τραπεζῆες κύνες' ἀπὸ τοῦ τραπεζεύς ἐστι· τὸ δὲ παρ' Ἰβύκῳ διὰ τοῦ η λεγόμενον

τραπεζητᾶν κυνῶν[4]

ἔστιν ὡς πλείων πλήων.

[1] mss τῇ κλαγγῇ δοτικῇ [2] mss insert ἐν [3] Lehrs: mss φι [4] *B*: mss κυνᾶν

61

Cramer *Inedita* (*Oxford*): Ibycus used κλαγγί

with noise

for the dative κλαγγῇ.

62

Herodian *Words without Parallel*: Λιβυαφιγενής :—the extension [of a noun] with -φι never occurs at the beginning of a compound; this happens only with an adverb, namely ἴφι 'mightily,' as in *Iphigeneia*, *Iphicles*, *Iphianassa*, and the like. So Ibycus is wrong in using the word Λιβυαφιγενής

Libya-born

63

Scholiast on Apollonius of Rhodes *Argonautica* ['in goat-pelts clad']: that is 'skins,' whence comes στερφῶσαι 'to cover with hide'; and Ibycus says

hide-clad host

for an army that wears skins.

64[1]

Etymologicum Magnum: τραπεζίτης with the ι has the ordinary meaning 'banker' from τράπεζα 'a table'; with the diphthong ει it means 'one who stands beside the table,' as in Homer 'the dogs beside the table,' τραπεζῆες from τραπεζεύς; whereas the form with η, τραπεζήτης, used by Ibycus in the phrase

the dogs about the table,

is parallel to πλήων for πλείων 'more.'

[1] cf. Cram. *A.O.* 2. 45. 22, Eust. 1257. 25, *E.G.* 533. 43, 534. 14, Suid. τράπεζα, Bek. *An.* 3. 1424, Poll. 3, 84

65

Plut. *Lyc. et Num.* 3 ἔτι δὲ μᾶλλον ἡ περὶ τὰς παρθένους φυλακὴ κατέσταλται τῷ Νομᾷ πρὸς τὸ θῆλυ καὶ κόσμιον· ἡ δὲ τοῦ Λυκούργου παντάπασιν ἀναπεπταμένη καὶ ἄθηλυς οὖσα τοῖς ποιηταῖς λόγον παρέσχηκε·

φανομηρίδας [1]

τε γὰρ αὐτὰς ἀποκαλοῦσιν, ὡς Ἴβυκος, καὶ ἀνδρομανεῖς λοιδοροῦσιν . . .

66

Sch. Pind. *O.* 9. 129 χάρμα· νῦν ἀντὶ τοῦ χαρά. Ὅμηρος δὲ ἐπὶ τῆς μάχης· οἱ δὲ περὶ Ἴβυκον καὶ Στησίχορον

χάρμαν [2]

τὴν ἐπιδορατίδα φασίν.

67

Ox. Pap. XV 1790 [3]

ἀντ. . . . [τοὶ [4] κ]αὶ Δαρδανίδα Πριάμοιο μέ[γ']
[ἄσ]τυ περικλεὲς ὄλβιον ἠνάρον
[Ἄργ]οθεν ὀρνυμένοι
[Ζη]νὸς μεγάλοιο βουλαῖς
ἐπ. [ξα]νθᾶς Ἑλένας περὶ εἴδει
[δῆ]ριν πολύμνον ἔχοντες
[πό]λεμον κατὰ δακρυόεντα
[Πέρ]γαμον δ' ἀνέβα ταλαπείριο[ν ἄ]τα
[χρυ]σοέθειραν διὰ Κύπριδα.[5]

στρ. [νῦ]ν δέ μοι οὔτε ξειναπάταν Π[άρι]ν
[ἔστ'] [6] ἐπιθύμιον οὔτε τανίσφυρον
[ὑμ]νῆν Κασσάνδραν

[1] *B*, cf. Poll. 2. 187, 7. 55, Clem. Al. 4. 128: mss φαινομ.

5

Plutarch *Comparison of Lycurgus and Numa*: Moreover the measures taken by Numa for the protection of virgins aim more at preserving the feminine nature and public decency than those of Lycurgus, which indeed are so entirely free and unfeminine as to have caused remark in poetry; for the poets, for instance Ibycus, call the Spartan girls

bare-thighed

and use 'man-mad' of them as a term of abuse.

66

Scholiast on Pindar: χάρμα is here used for χαρά 'joy'; Homer uses it of battle; whereas in Ibycus and Stesichorus (95) it means

spear-head

67

From a Papyrus of the First Century B.C.: [1]

. . . who set forth from Argos at the hest of great Zeus, and upholding an often-sung strife in tearful war for the sake of the form of flaxen-haired Helen, made an end of the city so mighty and rich and renowned of Dardanid Priam, and the vengeance of Heaven went up on long-suffering Pergamum because of the golden-tressèd Cypris. But now 'tis my will to sing neither of Paris the host-cheater nor yet of slim-ankled Cassandra and other the

[1] apparently part of the epilogue to a Book (or the whole collection?) of I.'s poems dedicating it to his patron Polycrates of Samos

[2] mss χάρμην [3] restored by Hunt, Murray, Lobel, *E* [4] τοὶ *E*, Hunt agreeing, cf. fr. 4 *O.P.* [5] prob. scanned – ◡ ◡ [6] *E*, Hunt now agreeing: Hunt once ἦν

[Πρι]άμοιό τε παίδας ἄλλους
ἀντ. [Τρο]ίας θ' ὑψιπύλοιο ἄλωσιν, ὅγ'
[οὐκ] ἄρ' ἀνώνυμον· οὐδ' ἐπ[ελεύσομαι][1]
[ἡρ]ώων ἀρετὰν
[ὑπ]εράφανον οὔστε κοίλαι
ἐπ. [νάες] πολυγόμφοι ἐλεύσαν
[Τροί]ᾳ κακὸν ἤροας[2] ἐσθλούς·
[τῶν] μὲν κρείων Ἀγαμέμνων
ἄρχε Πλεισθενίδας βασιλεὺς ἄγος ἀνδρῶν
Ἀτρέος ἐσ[θλοῦ] παῖς ἐκ π[ατρό]ς.

στρ. καὶ τὰ μὲ[ν ἂν] Μοίσαι σεσοφισμένᾳ
εὖ Ἑλικωνίδες ἐμβάϊεν ὀπί,[3]
θνατὸς δ' οὔ κ[ε]ν ἀνὴρ
διερὸ[ς] τὰ ἕκαστα[4] εἴποι
ἀντ. ναῶν, ὡ[ς Μεν]έλαος ἀπ' Αὐλίδος
Αἰγαῖον διὰ [πό]ντον ἀπ' Ἄργεος
ἠλύθε [Δαρδανία]ν
ἱπποτρόφο[ν, ὡς δ]ὲ φώτες
ἐπ. χαλκάσπι[δες, υἵ]ες Ἀχαιῶν·
τῶν μὲν προφερέστατος αἰχμᾷ
[ἦλθε]ν[5] πόδ[ας ὠ]κὺς Ἀχιλλεὺς
[καὶ μέ]γας Τ[ελαμ]ώνιος ἄλκιμ[ος Αἴας]
[. . .] ρ ατ[. . . ar]γυρος.

στρ. [. . . . .]ος ἀπ' Ἄργεος
[. . . . . .]ς ἐς Ἴλιον
[. . . . . .]
[. . . . .] . . .
ἀντ. [. . . . .]ά χρυσεόστροφος

[1] *E*: Hunt ἐπανέρχομαι [2] P ηρωας [3] *E*, i. e. *Foπί* of

children of Priam with the taking of Troy the high-gated, for all 'tis so glorious a theme; nor shall I recount the proud valour of the Heroes, the Heroes so noble whom the hollow ships with their nailèd sides brought unto Troy for her mischief, of whom Agamemnon was chief, the Pleisthenid king, the leader of men, the son of a noble father, to wit of Atreus.

On such tasks may the well-skilled voice of the Muses of Helicon enter, but never a mortal alive could tell of all the doings of the ships, how came Menelaus from Aulis across the Aegean Sea from Argos to Dardany nurse of horses, and how came those brazen-targeted wights, the sons of the Achaeans, of whom the most eminent in battle came swift-foot Achilles and the great and courageous Aias son of Telamon . . .

. . . . . .[1]

[1] the missing strophe prob. contained a ref. to Teucer and the horses of Laomedon, which are apparently the subject of a mutilated scholion

---

which through γοπί P's λογ[φ ?] is perh. a correction: Hunt prints σεσοφισμέναι which is prob. what P intended [4] P prob. [σκαταικα]ταεκαστα [5] *E*; for hiatus cf. 2. 6: Hunt [βαίν]ε[ι]

Ὕλλις ἐγείνατο,[1] τῷ δ' ἄρα Τρωΐλον
ὡσεὶ χρυσὸν ὀρει-
χάλκῳ τρὶς ἄπεφθον ἤδη
ἐπ. Τρῶες Δαναοί τ' ἐρόεσσαν
μορφὰν μάλ' εἴσκον ὅμοιον.
τοῖς μὲν πέδα κάλλεος αἰέν·
καὶ σύ, Πουλύκρατες,[2] κλέος ἄφθιτον ἐξεῖς
ὡς κατ' ἀοιδὰν καὶ ἐμὸν κλέος.

[1] P εγήν. [2] P πολύκ.

and the son of gold-girt Hyllis, aye and he to whom Troilus for loveliness of form was likened forthwith both by Trojan and Danaan even as gold thrice refined might be likened to mountain copper.

Theirs it is to share beauty for ever, and thine, too, Polycrates, shall be a glory, even as my glory in song, unfading.

ΑΝΑΚΡΕΟΝΤΟΣ

Βίος

Str. 14. 644 *καὶ ἡ Τέως δὲ ἐπὶ χερρονήσῳ ἵδρυται λιμένα ἔχουσα· ἐνθένδ' ἐστὶν Ἀνακρέων ὁ μελοποιός, ἐφ' οὗ Τηΐοι τὴν πόλιν ἐκλιπόντες εἰς Ἄβδηρα ἀπῴκησαν Θρᾳκίαν πόλιν, οὐ φέροντες τὴν τῶν Περσῶν ὕβριν, ἀφ' οὗ καὶ τοῦτ' εἴρηται 'Ἄβδηρα καλὴ Τηΐων ἀποικίη.' πάλιν δ' ἐπανῆλθόν τινες αὐτῶν χρόνῳ ὕστερον.*

Aristox. *Frag. Hist. Gr.* 2. 279. 23 *φ' γὰρ καὶ ιδ' ἔτη ἔγγιστα ἀπὸ τῶν Τρωϊκῶν ἱστορεῖται μέχρι Ξενοφάνους τοῦ φυσικοῦ καὶ τῶν Ἀνακρέοντός τε καὶ Πολυκράτους χρόνων καὶ τῆς ὑπὸ Ἁρπάγου τοῦ Μήδου Ἰώνων πολιορκίας καὶ ἀναστάσεως ἣν Φωκαεῖς φυγόντες Μασσαλίαν ᾤκησαν.*

Euseb. Ol. 62. 2: Anacreon lyricus poeta agnoscitur.

Suid. *Ἀνακρέων· Τήϊος, λυρικός, Σκυθίνου υἱός· οἱ δὲ Εὐμήλου, οἱ δε Παρθενίου, οἱ δὲ Ἀριστοκρίτου ἐδόξασαν. ἔγραψεν ἐλεγεῖα καὶ ἰάμβους, Ἰάδι πάντα διαλέκτῳ. γέγονε κατὰ Πολυκράτην τὸν Σάμου τύραννον, Ὀλυμπιάδι ξβ'.*[1] *οἱ δὲ ἐπὶ Κύρου καὶ Καμβύσου τάττουσιν αὐτὸν κατὰ τὴν ξε'*[2] *Ὀλυμπιάδα· ἐκπεσὼν δὲ Τέω διὰ τὴν Ἰστιαίου ἐπανάστασιν ᾤκησεν*

[1] mss νβ' [2] mss νε'

ANACREON

Life

Strabo *Geography*: Teos is built on a peninsula and has a harbour. It is the birthplace of the lyric poet Anacreon, in whose time the inhabitants left their city and founded Abdera in Thrace because they would not endure the Persian yoke—whence the saying: 'Abdera, fair new home of them of Teos,'—though indeed some of the Teians returned in later days.

Aristoxenus *Histories*: Approximately 514 years are represented as having elapsed between the Trojan War and the times of the physical philosopher Xenophanes, of Anacreon and Polycrates, and of the blockade of Ionia by Harpagus the Persian and the migration of the Phocaeans to Marseilles to escape it.

Eusebius *Chronicle*: Second year of the 62nd Olympiad (B.C. 532–529): flourished the lyric poet Anacreon.

Suidas *Lexicon*: Anacreon: Of Teos, a lyric poet, son of Scythinus or, according to other varying authorities, of Eumelus, Parthenius, or Aristocritus. He wrote elegiac and iambic poems, all in the Ionic dialect. He was contemporary with Polycrates tyrant of Samos, that is, of the 62nd Olympiad, though some authorities put him in the time of Cyrus and Cambyses, that is, in the 65th (B.C. 520–517). Driven from Teos through the revolt of

Ἄβδηρα ἐν Θράκῃ. βίος δὲ ἦν αὐτῷ πρὸς ἔρωτας παίδων καὶ γυναίκων καὶ ᾠδάς. καὶ συνέγραψε παροίνιά τε μέλη καὶ ἰάμβους καὶ τὰ καλούμενα Ἀνακρεόντεια.

Hdt. 3. 121 [π. αἰτιῶν τῶν τοῦ θανάτου τοῦ Πολυκράτους]· οἱ δὲ ἐλάσσονες λέγουσι πέμψαι Ὀροίτεα ἐς Σάμον κήρυκα ὅτευ δὴ χρήματος δεησόμενον· οὐ γὰρ ὦν δὴ τοῦτό γε λέγεται· καὶ τὸν Πολυκράτεα τυχεῖν κατακείμενον ἐν ἀνδρεῶνι, παρεῖναι δέ οἱ καὶ Ἀνακρέοντα τὸν Τήϊον· καί κως, εἴτ' ἐκ προνοίης αὐτὸν κατηλογέοντα τὰ Ὀροίτεω πρήγματα, εἴτε καὶ συντυχίη τις τοιαύτη ἐπεγένετο· τόν τε γὰρ κήρυκα τὸν Ὀροίτεω παρελθόντα διαλέγεσθαι καὶ τὸν Πολυκράτεα, τυχεῖν γὰρ ἐπεστραμμένον πρὸς τὸ τοῖχον, οὔτε τι μεταστραφῆναι οὔτε ὑποκρίνασθαι.

Str. 14. 638 [π. Σάμου]· αἱ μὲν οὖν τυραννίδες ἤκμασαν κατὰ Πολυκράτη μάλιστα καὶ τὸν ἀδελφὸν αὐτοῦ Συλοσῶντα· ἦν δ' ὁ μὲν καὶ τύχῃ καὶ δυνάμει λαμπρὸς ὥστε καὶ θαλαττοκρατῆσαι . . . τούτῳ συνεβίωσεν Ἀνακρέων ὁ μελοποιός· καὶ δὴ καὶ πᾶσα ἡ ποίησις πλήρης ἐστὶ τῆς περὶ αὐτοῦ μνήμης.

Him. *Or.* 31. 4 ἦν Πολυκράτης ἔφηβος· ὁ δὲ Πολυκράτης οὗτος οὐ βασιλεὺς Σάμου μόνον, ἀλλὰ καὶ τῆς Ἑλληνικῆς ἁπάσης θαλάσσης ὑφ'[1] ἧς γαῖα ὁρίζεται· ὁ δὴ γοῦν τῆς Ῥόδου (?) Πολυκράτης ἦρα μουσικῆς καὶ μελῶν, καὶ τὸν πατέρα ἔπειθε συμπρᾶξαι αὐτῷ πρὸς τὸν τῆς μουσικῆς ἔρωτα. ὁ δὲ Ἀνακρέοντα τὸν μελοποιὸν μετα-

Histiaeus he colonised Abdera in Thrace. His life was devoted to love and song. He wrote drinking-songs and iambics and the poems called *Anacreontea.*[1]

Herodotus *Histories* [on the causes of the death of Polycrates]: The following is the less generally received account. A herald sent by Oroetes to Samos demanding a sum of money the amount of which is not given, found Polycrates reclining in the dining-hall and with him Anacreon of Teos. Somehow, whether by accident or because Polycrates wished to show his contempt of Oroetes, it came about that when the man approached and began to speak, Polycrates, who lay with his face to the wall, made no attempt either to turn round or to answer him.

Strabo *Geography* [on Samos]: These despotisms culminated in Polycrates and his brother Syloson. The former by fortune and power became so great as to rule the seas. . . . Under his roof lived the lyrist Anacreon, whose poetry abounds with references to him.

Himerius *Declamations*: Polycrates was then a youth. Now the elder Polycrates was not only king of Samos but ruled all the inner seas of Greece. The younger Polycrates[2] loved music and poetry, and urged his father to help him to indulge his love of music. So his father sent for the lyric poet

[1] these are really late imitations of his 'Hemiambics' such as 75, see vol. iii; for his supposed invention of the *barbiton* see Ath. 4. 175 e (above, p. 83)

[2] mss. 'Pol. of Rhodes,' which must be corrupt

[1] mss ἐφ'

πεμψάμενος δίδωσι τῷ παιδὶ τοῦτον τῆς ἐπιθυμίας διδάσκαλον, ὑφ' ᾧ τὴν βασιλικὴν ἀρετὴν ὁ παῖς διὰ τῆς λύρας πονῶν, τὴν Ὁμηρικὴν ἤμελλε πληρώσειν εὐχὴν τοῦ πατρὸς Πολυκράτους πᾶσι[1] κρείσσων ἐσόμενος.

Ibid. 5. 3 ἔχαιρε μὲν Ἀνακρεὼν εἰς Πολυκράτους στελλόμενος τὸν ξανθὸν Μεγίστην[2] προσφθέγξασθαι· ἡδὺ δ' ἦν καὶ Πινδάρῳ προσειπεῖν πρὸ τοῦ Διὸς τὸν Ἱέρωνα . . .

Ibid. 30 (Schenkl) ᾖδε δὲ ὁ Ἀνακρεὼν τὴν Πολυκράτους τύχην Σαμίων τῇ θεᾷ πεμπόντων[3] τὰ ἱερά.

Max. Tyr. 21. 7 τοιαύτην φασὶ τὸν Ἀνακρέοντα ἐκεῖνον τὸν Τήϊον ποιητὴν δοῦναι δίκην τῷ Ἔρωτι. ἐν τῇ τῶν Ἰώνων ἀγορᾷ ἐν Πανιωνίῳ ἐκόμιζεν τίτθη βρέφος· ὁ δὲ Ἀνακρέων βαδίζων μεθύων ἰάχων[4] ἐστεφανωμένος, σφαλόμενος[5] ὠθεῖ τὴν τίτθην σὺν τῷ βρέφει καί τι καὶ εἰς τὸ παιδίον ἀπέρριψεν βλάσφημον ἔπος· ἡ δὲ γυνὴ ἄλλο μὲν οὐδὲν ἐχαλέπηνεν τῷ Ἀνακρέοντι, ἐπηύξατο δὲ τὸν αὐτὸν τοῦτον ὑβριστὴν ἄνθρωπον τοσαῦτα καὶ ἔτι πλείω ἐπαινέσαι ποτὲ τὸ παιδίον ὅσα νῦν ἐπηράσατο. τελεῖ ταῦτα ὁ θεός· τὸ γὰρ παιδίον ἐκεῖνο δὴ αὐξηθὲν γίγνεται Κλεόβουλος ὁ ὡραιότατος, καὶ ἀντὶ μικρᾶς ἀρᾶς ἔδωκεν ὁ Ἀνακρέων Κλεοβούλῳ δίκην δι' ἐπαίνων πολλῶν.

Ibid. 37. 5 οὕτω καὶ Ἀνακρέων Σαμίοις Πολυκράτην ἠμέρωσεν κεράσας τῇ τυρανίδι ἔρωτα,

[1] mss τῷ πατρὶ Πολυκράτει πάντων Ξάνθιππον [2] Wil: mss μέγαν [3] mss πέμπουσαν [4] Hobein: mss ἀκων

Anacreon, and gave him to his son to teach him his heart's desire; and under him the lad, labouring with the lyre at royal virtue, seemed likely to fulfil the prayer of which Homer speaks, by surpassing his father Polycrates in all accomplishments.[1]

The Same: Anacreon rejoiced, when summoned to the court of Polycrates, to address the flaxen-haired Megistes; sweet it was to Pindar to salute Hiero before Zeus . . .

The Same: Anacreon sang the praise of the fortunes of Polycrates when the Samians gave offerings to the Goddess.

Maximus of Tyre *Dissertations*: Anacreon, the poet of Teos, is said to have been punished by Love in the following way. One day at the Pan-Ionian Festival a nurse was carrying a baby in the Ionian Meeting-Place,[2] when Anacreon came along tipsy and shouting with a wreath on his head, and stumbling against the woman and her charge let fall some words of abuse. The indignant nurse contented herself with expressing a pious wish that the very scoundrel who now cursed the child should live to praise him in still stronger terms—which indeed was the fact; for the God heard her prayer and, the child growing to be the lovely Cleobulus, Anacreon expiated a little curse with manifold praise.

The Same: Anacreon, too, mitigated the tyranny of Polycrates over the Samians by mingling it with

[1] *Il.* 6. 476 ff.

[2] on Mt. Mycalè

[5] mss σφαλλ.

Σμερδίου καὶ Κλεοβούλου κόμην καὶ κάλλος[1] Βαθύλλου καὶ ᾠδὴν Ἰωνικήν.[2]

Sch. Pind. *Isth.* 2. 1 Ἀνακρέοντα γοῦν, ἐρωτηθέντα φασὶ διατί οὐκ εἰς θεοὺς γράφει ὕμνους ἀλλ' εἰς παῖδας, εἰπεῖν "Ὅτι οὗτοι ἡμῶν θεοί εἰσι.'

Ar. *Thesm.* 159

ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν
ἀγρεῖον ὄντα καὶ δασύν· σκέψαι δ' ὅτι
Ἴβυκος ἐκεῖνος κ'Ανακρέων ὁ Τήϊος
κ'Αλκαῖος, οἵπερ ἁρμονίαν ἐχύμισαν,
ἐμιτροφόρουν τε καὶ διεκινοῦνθ' ὧδέ πως[3] . . .

[Plat.] Hipparch. 228 b . . . Ἱππάρχῳ, ὃς τῶν Πεισιστράτου παίδων ἦν πρεσβύτατος καὶ σοφώτατος, ὃς ἄλλα τε πολλὰ καὶ καλὰ ἔργα σοφίας ἀπεδείξατο καὶ τὰ Ὁμήρου ἔπη πρῶτος ἐκόμισεν εἰς τὴν γῆν ταυτηνί, καὶ ἠνάγκασε τοὺς ῥαψῳδοὺς Παναθηναίοις ἐξ ὑπολήψεως ἐφεξῆς αὐτὰ διϊέναι, ὥσπερ νῦν ἔτι οἵδε ποιοῦσιν, καὶ ἐπ' Ἀνακρέοντα τὸν Τήϊον πεντηκόντορον στείλας ἐκόμισεν εἰς τὴν πόλιν, Σιμωνίδην δὲ τὸν Κεῖον ἀεὶ περὶ αὐτὸν εἶχεν μεγάλοις μισθοῖς καὶ δώροις πείθων· ταῦτα δ' ἐποίει βουλόμενος παιδεύειν τοὺς πολίτας, ἵν' ὡς βελτίστων ὄντων αὐτῶν ἄρχοι, οὐκ οἰόμενος δεῖν οὐδενὶ σοφίας φθονεῖν ἅτε ὢν καλός τε κἀγαθός.

Plat. *Charm.* 157 e οὐ γὰρ οἶμαι ἄλλον οὐδένα τῶν ἐνθάδε ῥᾳδίως ἂν ἔχειν ἐπιδεῖξαι ποῖαι δύο

[1] Markl: mss αὐλοὺς [2] cf. Him. 30. 3, *A.P.* 7. 27, 30, 31, Hor. *Epod.* 14. 9

love, to wit with the locks of Smerdies and Cleobulus, the beauty of Bathyllus, and Ionian song.[1]

Scholiast on Pindar: It is said that when Anacreon was asked why he did not write hymns to the Gods, but to his loves, he replied 'Because our loves are our Gods.'

Aristophanes *Thesmophoriazusae*: It is particularly unrefined of a poet to be boorish and unkempt. Just think how master-cooks of music like the great Ibycus and Alcaeus and Anacreon of Teos wore the cap of luxury and danced like this [*i.e.* in the Ionian way] . . .

[Plato] Hipparchus: . . . to Hipparchus the eldest and wisest of the sons of Peisistratus, who among other fine ways showed his wisdom not only in being the first to bring the works of Homer to this country and compelling the minstrels, as my friends here still do, to recite them in relays from beginning to end at the Panathenaic Festival, but in sending a fifty-oared galley to fetch Anacreon of Teos to Athens, and in inducing Simonides of Ceos by high pay and valuable presents to be in continual attendance upon him. This he did in order to educate his fellow-citizens and make them loyal subjects, because he believed, like a true man of culture, that wit and wisdom should never be despised.

Plato *Charmides*: I hardly believe that anybody in

[1] cf. Hor. *Epod.* 14

---

[2] Rogers: mss διεκινοῦι τ' Ἰωνικῶς

οἰκίαι συνελθοῦσαι εἰς ταὐτὸν τῶν Ἀθήνησιν ἐκ τῶν εἰκότων καλλίω ἂν καὶ ἀμείνω γεννήσειαν ἢ ἐξ ὧν σὺ γέγονας. ἥ τε γὰρ πατρῴα ὑμῖν οἰκία, ἡ Κριτίου τοῦ Δρωπίδου, καὶ ὑπὸ Ἀνακρέοντος καὶ ὑπὸ Σόλωνος καὶ ὑπ' ἄλλων πολλῶν ποιητῶν ἐγκεκωμιασμένη παραδέδοται ἡμῖν ὡς διαφέρουσα κάλλει τε καὶ ἀρετῇ καὶ τῇ ἄλλῃ λεγομένῃ εὐδαιμονίᾳ, καὶ αὖ ἡ πρὸς μητρὸς ὡσαύτως . . .

Sch. Aesch. *P.V.* 128 . . . ἐπεδήμησε γὰρ (ὁ Ἀνακρέων) τῇ Ἀττικῇ Κριτίου ἐρῶν, καὶ ᾠρέσθη λίαν τοῖς μέλεσι τοῦ τραγικοῦ.

Him. *Or.* 22. 5 ἥρμοσε μὲν καὶ Ἀνακρέων μετὰ τὴν νόσον τὴν λύραν, καὶ τοὺς φίλους ἔρωτας αὖθις διὰ μέλους ἠσπάζετο . . .

Ath. 13. 600 d [π. ἔρωτος]· ὃν ὁ σοφὸς ὑμνῶν αἰεί ποτε Ἀνακρέων πᾶσίν ἐστιν διὰ στόματος. λέγει οὖν περὶ αὐτοῦ καὶ ὁ κράτιστος Κριτίας τάδε·

τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ' ᾠδὰς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ' ἀνῆγεν,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον.
οὔποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται
ἔστ' ἂν ὕδωρ οἴνῳ συμμειγνύμενον κυλίκεσσι
παῖς διαπομπεύῃ προπόσεις ἐπιδέξια νωμῶν,
πανυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,
πλάστιγξ θ' ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκραισι καθίζῃ
κοττάβου ὑψηλοῦ[1] κορυφαῖς Βρομίου ψακάδεσσιν.

[1] Kaibel: mss ὑψηλαῖς

this city could point to two Athenian houses which have united to produce so true a nobleman as the two from which you spring. The fame of your father's family, the house of Critias son of Dropides, has come down to us crowned with the praises accorded it by Anacreon, Solon, and many other poets for the beauty, the virtue, and the prosperity as it is called, of those who have belonged to it; the same is true of your mother's. . . .

Scholiast on Aeschylus *Prometheus Bound*: For Anacreon lived some time in Attica in the days of his passion for Critias, and took delight in the lyrics of Aeschylus.[1]

Himerius *Declamations*: Anacreon tuned his lyre after the plague[2] and welcomed his dear loves (*or* his friends the Loves) again with music.

Athenaeus *Doctors at Dinner*: Love is the almost constant theme of the wise Anacreon who is so familiar to us all. Compare the excellent Critias: 'Teos brought unto Greece that sweet old weaver of womanish song, rouser of revels, cozener of dames, rival of the flute, lover of the lyre, the delightful, the anodyne. Never shall love of thee, Anacreon, grow old or die, so long as serving-lad bears round mixed wine for cups and deals bumpers about board, so long as maiden band does holy night-long service of the dance, so long as the scale-pan that is daughter of bronze sits upon the summit of the cottabus-pole ready for the throwing of the wine-drops.

[1] cf. *fr.* 39; An. may not have died till 488; Aesch. first exhibited in 499 [2] *or* his illness

[Luc.] *Macr.* 26 Ἀνακρέων δὲ ὁ τῶν μελῶν ποιητὴς ἔζησεν ἔτη πέντε καὶ ὀγδοήκοντα, καὶ Στησίχορος δὲ ὁ μελοποιὸς ταὐτά· Σιμωνίδης δὲ ὁ Κεῖος ὑπὲρ τὰ ἐνενήκοντα.

Val. Max. 9. 8 sicut Anacreonti quoque, quem usitatum humanae vitae modum supergressum passae uvae suco tenues et exiles virium reliquias foventem unius grani pertinacior in aridis faucibus mora[1] absumpsit.

Paus. 1. 25. 1 ἔστι δὲ ἐν τῇ Ἀθηναίων ἀκροπόλει καὶ Περικλῆς ὁ Ξανθίππου καὶ αὐτὸς Ξάνθιππος, ὃς ἐναυμάχησεν ἐπὶ Μυκάλῃ Μήδοις. τοῦ δὲ τοῦ Ξανθίππου πλησίον ἕστηκεν Ἀνακρέων ὁ Τήιος, πρῶτος μετὰ Σαπφὼ τὴν Λεσβίαν τὰ πολλὰ ὧν ἔγραψε ἐρωτικὰ ποιήσας· καί οἱ τὸ σχῆμά ἐστιν οἷον ᾄδοντος ἂν ἐν μέθῃ γένοιτο ἀνθρώπου.

Anth. Pol. 7. 24[2]

Ἠμερὶ πανθέλκτειρα, μεθυτρύφε μῆτερ ὀπώρας,
οὔλης ἢ σκολιὸν πλέγμα φύεις ἕλικος,
Τηΐου ἡβησείας Ἀνακρείοντος ἐπ' ἄκρῃ
στήλῃ καὶ λεπτῷ χώματι τοῦδε τάφου,
ὡς ὁ φιλάκρητύς τε καὶ οἰνοβαρὴς φιλοκώμοις
πανυχίσιν[3] κρούων τὴν φιλύπαιδα χέλυν
κὴν χθονὶ πεπτηὼς κεφαλῆς ἐφύπερθε φέροιτο
ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων,
καί μιν ἀεὶ τέγγοι νοτερὰ δρόσος, ἧς ὁ γεραιὸς
λαρότατον[4] μαλάκων ἔπνεεν ἐκ στομάτων.

Ibid. 25[2]

Οὗτος Ἀνακρείοντα, τὸν ἄφθιτον εἵνεκα Μουσέων
ὑμνοπόλον, πάτρης τύμβος ἐδέκτο Τέω,

[Lucian] *Longevity*: The lyric poet Anacreon lived eighty-five years, the lyric poet Stesichorus the same, and Simonides of Ceos over ninety.

Valerius Maximus *Memorable Deeds and Sayings*: . . . as in the case of Anacreon, who outlived the common span of human life, only to perish while nursing what poor strength was left him with a cup of raisin-wine, by the sticking of an obstinate grape-stone in his withered throat.

Pausanias *Description of Greece*: On the Athenian Acropolis there are statues of Pericles son of Xanthippus and his father also who fought the Persians at Mycalê. Near Xanthippus stands Anacreon of Teos, the first poet excepting Sappho of Lesbos to make his chief theme love. The statue represents him as one singing in his cups.

Palatine Anthology: All-enchanting nurse of the wine, mother of fruit who bringest forth the crooked plait of the twisting tendril, grow lush and long, thou Vine, a-top the stone and little mound that are the tomb of Teian Anacreon; so shall the tippling friend of neat liquor, who thrummed in night-long revel the lute of a lover of lads, yet sport above his buried head the glorious cluster of some teeming bough, and be wet evermore with the dew whose delicious scent was the breath of his mild old mouth.

The Same: This tomb in his native Teos hath received one whom the Muses made an immortal

---

[1] Madv: mss *umor* [2] wrongly ascribed to Simonides
[3] Heck: mss φιλόκωμος (-μω) παννύχιος [4] mss λαρότερον

ὃς Χαρίτων πνείοντα μέλη πνείοντα δ' Ἐρώτων,
τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.
μοῦνον[1] δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων
ἠέλιον Λήθης ἐνθάδ' ἔκυρσε δόμων,
ἀλλ' ὅτι τὸν χαρίεντα μετ' ἠϊθέοισι Μεγιστέα
καὶ τὸν Σμερδίεω Θρῆκα λέλοιπε πόθον·
μολπῆς δ' οὐ λήθει μελιτερπέος, ἀλλ' ἔτ' ἐκεῖνον[2]
βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ.

Him. *Or.* 19 Schenkl *Hermes* 1911 p. 416 Σαπφὼ καὶ Ἀνακρέων ὥσπερ τι προοίμιον τῶν μελῶν τὴν Κύπριν ἀναβοῶντες οὐ παύονται.

Ibid. 29. 3 κοσμεῖ μὲν γὰρ Ἀνακρέων τὴν Τηΐων πόλιν τοῖς μέλεσι κἀκεῖθεν ἄγει τοὺς ἔρωτας.

Ath. 15. 694 a [π. σκολίων]· . . . ὡς Ἀριστοφάνης παρίστησιν ἐν Δαιταλεῦσιν λέγων οὕτως· 'Ἄσον δή μοι σκόλιόν τι λαβὼν Ἀλκαίου κ' Ἀνακρέοντος.'

Anth. Pal. 4. 1. 35 Μελεάγρου Στέφανος·

ἐν δ' ἄρ' Ἀνακρείοντα, τὸ μὲν γλυκὺ κεῖνο μέρισμα[3]
νέκταρος εἰς δ' ἐλέγους ἄσπορον ἀνθέμιον.

Ibid. 9. 239 Κριναγόρου εἰς βίβλον λυρικὴν Ἀνακρέοντος·

Βίβλων ἡ γλυκέρη λυρικῶν ἐν τεύχεϊ τῷδε
πεντὰς ἀμιμήτων ἔργα φέρει Χαρίτων,
Ἀνακρέοντος ἃς ὁ Τήϊος δύναξ[4]
ἔγραψεν ἢ παρ' οἶνον ἢ σὺν ἱμέροις·

bard, one who married unto the sweet desire of lads songs redolent of the Graces and redolent of the Loves; in the land of the dead, Anacreon hath but one trouble, and it is not that he hath quitted the sunlight to go to the house of Oblivion, but rather that he hath left behind him the fair stripling Megisteus and the Thracian love of Smerdies. For his sweet delightful music he forgetteth not, nay, giveth that lyre of his no rest even there in death.

Him. *Declamations*: Sappho and Anacreon never cease to call upon Cypris as a sort of prelude to their poems.

The Same: Anacreon adorns the city of Teos with his poems and thence derives his loves.

Athenaeus *Doctors at Dinner* [on drinking-songs]: Compare what Aristophanes says in the *Banqueters*, 'Take and sing me a drinking-song of Alcaeus or Anacreon.'

Palatine Anthology The Garland of Meleager: And Anacreon he twined therein, that honeysuckle which is one of the sweet ingredients of nectar but may not be sown in elegiac verse.[1]

The Same: Crinagoras on Anacreon's Book of Lyrics: The delicious five lyric books in this volume[2] carry those works of the peerless Graces which were written by the Teian pen of Anacreon over the wine or with the Loves. We come as a

[1] Anacreon's name can be got into elegiac metre only by a make-shift [2] *or perh.* box (— *capsa*)

[1] *B*: mss *-os* [2] *ἔτ' ἐκεῖνον* prob. corrupt [3] *E*, cf. Ibyc. 37: mss *μέλισμα* [4] *E*, cf. *A.P.* 6. 295. 1; for metre cf. *A.P.* 4 above: ms *ὁ ἡδὺς πρέσβυς* corr. of *δ' ἄναξ*

δῶρον δ' εἰς ἱερὴν Ἀντωνίῃ ἤκομεν ἠῶ,
κάλλευς καὶ πραπίδων ἔξοχ' ἐνεγκαμένῃ.

Cic. *T.D.* 4. 71 nam Anacreontis quidem tota poesis est amatoria.

Ath. 14. 635 c *καὶ ὁ μὲν Ποσειδώνιός φησιν τριῶν μελῳδιῶν αὐτὸν (τὸν Ἀνακρέοντα) μνημονεύειν, Φρυγίου τε <καὶ Δωρίου> καὶ Λυδίου· ταύταις γὰρ μόναις τὸν Ἀνακρέοντα κεχρῆσθαι.*

Ibid. 15. 671 f *Ἀρίσταρχος ὁ γραμματικώτατος, ἐξηγούμενος τὸ χωρίον (fr. 45), ἔφη ὅτι λύγοις ἐστεφανοῦντο οἱ ἀρχαῖοι. Τέναρος δὲ ἀγροίκων εἶναι λέγει στεφάνωμα τὴν λύγον. καὶ οἱ ἄλλοι ἐξηγηταὶ ἀπροσδιόνυσά τινα εἰρήκασιν περὶ τοῦ προκειμένου.*

Ael. *N.A.* 7. 39 *πρὸς δὲ τοὺς μοιχῶντας τὸ λεχθὲν (fr. 52), καὶ μέντοι καὶ φάσκοντας δεῖν ἐροέσσης γράφειν ἀντίλεγει κατὰ κράτος Ἀριστοφάνης ὁ Βυζάντιος, καὶ ἔμεγε αἱρεῖ τῇ ἀντιλογίᾳ.*

Sen. *Ep.* 88 quattuor milia librorum Didymus grammaticus scripsit. misererer si tam multa supervacua legisset. in his libris de patria Homeri quaeritur, in his de Aeneae matre vera, in his libidinosior Anacreon an ebriosior vixerit, in his an Sappho publica fuerit, et alia quae erant dediscenda si scires; i nunc et longam esse vitam nega.

---

[1] cf. 96 (Chamaeleon), and 52, where the ref. to Zenodotus perh. indicates that *he* compiled an edition of A.

gift for the birthday of Antonia, whose looks like her wit are beyond compare.

Cicero *Tusculan Disputations*: Anacreon's poetical works are entirely erotic.

Athenaeus *Doctors at Dinner*: According to Posidonius, Anacreon mentions three musical modes, the Phrygian, the Dorian, and the Lydian, these being the only modes he ever uses.

The Same [on *fr.* 45]: The great grammarian Aristarchus says in his note on these lines that the ancients used garlands of willow. But Tenarus declares that such garlands are not used by persons of refinement, and the other commentators[1] have made irrelevant remarks upon the passage.

Aelian *Natural History* [on *fr.* 52]: The reference is to adulterers; and indeed Aristophanes of Byzantium stoutly opposes the view that we should read ἐροέσσης 'charming' for κεροέσσης 'horned,' and I must say that I agree with him.

Seneca *Letters to Lucilius*: The grammarian Didymus wrote four thousand books. I should pity him if he had merely read so many useless works. The list includes treatises in which he discusses the birthplace of Homer, the true mother of Aeneas, whether Anacreon was more of a rake than a sot, whether Sappho was a prostitute, and other questions the answers to which you ought to forget if you knew them. And then people complain that life is short.

Porph. Hor. *Od.* 1. 27. 1 [Natis in usum laetitiae]: protreptice ode est haec ad hilaritatem, cuius sensus sumptus est ab Anacreonte ex libro tertio.

See also Serv. *Cent. Metr. Gr. Lat.* 4. 458 ff., Viet. Ibid. 6. 81 ff., Caes. Bass. Ibid. 259 ff., Plot. Ibid. 514 ff., 536, *A.P.* 7. 23–33, 9. 184, 571, 599, *Anth.*

ΑΝΑΚΡΕΟΝΤΟΣ ΜΕΛΩΝ

Α'

1 εἰς Ἄρτεμιν

Heph. π. ποίημ. 128 κοινὸν δέ ἐστι κατὰ σχέσιν τὸ δύο συστήμασιν ὑποπεπτωκὸς (ποίημα) καθάπερ τὸ πρῶτον Ἀνακρέοντος ᾄσμα·

Γουνοῦμαί σ', ἐλαφηβόλε
ξανθὴ παῖ Διός, ἀγρίων
δέσποιν' Ἄρτεμι θηρῶν,
ἤ κου νῦν ἐπὶ Ληθαίου
δίνησι θρασυκαρδίων
ἀνδρῶν ἐσκατοράᾳς πύλιν
χαίρουσ'· οὐ γὰρ ἀνημέρους
ποιμαίνεις πολιήτας.[1]

κατὰ μὲν γὰρ τὴν νῦν ἔκδοσιν ὀκτακωλός ἐστιν ἡ στροφὴ καὶ τὸ ᾄσμά ἐστι μονοστροφικόν· δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι εἴς τε τριάδα καὶ πεντάδα ἡ στροφή, ὥστε Φερεκρατεῖον εἶναι τὸ τελευταῖον τοῦ συστήματος τοῦ ἐκ τῶν τριῶν κώλων καὶ <τοῦ> τῶν πέντε.[2]

[1] H.'s citation ends with θηρῶν (l. 3) καὶ τὰ ἑξῆς; ll. 4 8 from Sch. [2] Caesar-*E*: mss ἡ τῶν πέντε

Porphyrio on Horace *Odes* 1. 27 : This ode is of the class which exhorts to hilarity ; the sense of it comes from Anacreon, Book III.

Plan. 306–9, Dio Chr. *Or.* 2, p. 25 Dind, Ov. *Tr.* 2. 363, *A.A.* 3. 330, Jul. *Mis.* init., Plut. *Mus.* 8, Ath. 10. 429a, Philod. *Mus.* 79. 11.[1]

THE POEMS OF ANACREON

Book I

1[2] To Artemis

Hephaestion *On Poems* : A poem is known as 'common in form' when it is made up of two 'systems' or stanzas like the first poem of Anacreon :

To thee I kneel,[3] thou shooter of deer, flaxen-haired child of Zeus, Artemis queen of wild beasts, who now doubtless lookest down rejoicing beside the eddies of Lethaeus upon a city of valiant hearts ; for thou art shepherd to no savage flock of men.[4]

For although according to the edition now in use the strophe has eight lines and the poem consists of a single strophe, this strophe can also be separated into a three-group and a five-group, so that a Pherecratic ends both the three-line and the four-line systems.[5]

[1] and Sa. vol. i p. 169 [2] cf. Heph. 8, Att. Fort. 356–8, Sch. *Il.* 21. 470, Eust. 1247. 9, Joh. Sic. Walz 6. 128, Keil *A.G.* 10. 26 (*θηρίων*), *Paroem.* 2. 351, Apoll. Dys. *Synt.* 55 [3] lit. 'clasp thy knees in supplication' [4] now : dedicatory of a new temple or statue of Artemis ? city : Ionian Magnesia the poem is prob. complete ; see however Kehrhahn *Herm.* 1914 [5] does not necessarily imply that l. 3 ended in the Aristarchean (?) edition in *θηρίων*, but prob. that there was no division-mark put betw. ll. 3 and 4

2 εἰς Διόνυσον

Dio Chrys. 2. 62 *τούτου γε μὴν συνέπεται, μηδὲ εὐχὰς εὔχεσθαι τὸν βασιλέα τοῖς ἄλλοις ὁμοίας, μηδὲ αὖ τοὺς θεοὺς καλεῖν οὕτως εὐχόμενον ὥσπερ ὁ Ἰώνων ποιητὴς Ἀνακρέων·*

Ὦναξ, ὦ δαμάλης Ἔρως
καὶ Νύμφαι κυανώπιδες
πορφυρῇ τ' Ἀφροδίτη
συμπαίζουσιν ἐπιστρέφῃ δ'
ὑψήλων ὀρέων κορυφάς,[1]
γουνοῦμαί σε, σὺ δ' εὐμενὴς
ἔλθοις μοι κεχαρισμένης τ'
εὐχωλῆς ἐπακούων,
Κλευβούλῳ δ' ἀγαθὸς γενεῦ
σύμβουλος τὸν ἐμόν γ' ἔρωτ',
ὦ Δεύνυσε, δέχεσθαι.[2]

3

[Hdn.] *π. σχημ.* 57. 5 Dindorf [*π. πολιπτώτου*]. *παρὰ δὲ Ἀνακρέοντι ἐπὶ τριῶν·*

Κλευβούλου μὲν ἐγωγ' ἐρέω
Κλευβούλῳ δ' ἐπιμαίνομαι
Κλεύβουλον δὲ διοσκέω.[3]

4

Ath. 13. 564d [*π. ἐμμάτα τὰ τῶν ἐρωμένων*]· *ὁ δ' Ἀνακρέων τί φησιν;*

Ὦ παῖ παρθένιον βλέπων,
δίζημαί σε, σὺ δ' οὐκ αἴεις,[4]
οὐκ εἰδὼς ὅτι τῆς ἐμῆς
ψύχης ἡνιοχεύεις.

[1] metre cf. Sa. 86. 20: mss also ὑψήλας, but cf. *Il.* 12. 282, Ar. *Nub.* 279 (Wil.) [2] γ' *E*: mss δ', δέ, δέ τ' [3] *B*, cf. Hesych. *διοσκεῖν· διαβλέπειν συνεχῶς τὴν ὅρασιν <μὴ> μετα-*

2[1] To Dionysus

Dio Chrysostom *Declamations*: It follows that we should not offer to the king prayers like those we offer others, nor yet call upon the Gods in the manner of Anacreon the poet of the Ionians:

O Lord with whom playeth Love the subduer and the dark-eyed Nymphs and rosy Aphrodite as thou wanderest the tops of the lofty hills, to thee I kneel; do thou come unto me kind and lending ear unto a prayer that is acceptable, and give Cleobulus good counsel, O Dionysus, to receive my love.[2]

3

[Herodian] *On Figures of Speech* [repetition of a word in various cases]: It occurs in Anacreon in three:

I love Cleobulus, I dote on Cleobulus, I gaze at Cleobulus.

4

Athenaeus *Doctors at Dinner* [on the eyes of the beloved]: And what says Anacreon?

O lad that lookest in maiden wise, I seek thee and thou hearkenest not, little knowing that the reins of my soul are in thy hand.

[1] cf. Steph. Byz. Ἀσκάλων, Ael. *H.A.* 4. 2 [2] a complete letter (or serenade?) to Cleobulus

---

βάλλοντα: mss διοσκνέω, διὸς κνέων, διϊδεῖν ἐπιποθῶ [4] O. Schneider, but ἄεις, cf. *fr.* 1. 4: mss οὐκ αἴεις, οὐ καίεις

5

Eust. 1542. 47 [*Od.* 5. 306 *τρισμάκαρες*]· *καὶ ἐν τῷ*·

ἀλλ' ὦ τρὶς κεκορημένε
Σμερδίη . . .

παρ' Ἀνακρέοντι· ἢ γοῦν πολλάκις ἐκσεσαρωμένε.

6

Id. 1012. 1 . . . Ποσειδῶν δὲ τὸ συνέχον αἴτιον τὴν θάλασσαν, *ἐπεὶ πόσεως αἴτιος διὰ τοὺς ποταμοὺς καὶ τὰ λοιπὰ ὕδατα ἃ ἐκ θαλάσσης διηθούμενα ἐκρέουσιν, ἀφ' ἧς καὶ οἱ ὕετοὶ πότιμοι καὶ αὐτοὶ ὄντες ἄναμμα ἔχουσι. διὸ καὶ οἱ Ἀττικοὶ τὸν περὶ χειμερίους τροπὰς μῆνα Ποσειδεῶνα καλοῦσιν, ὡς Ἀνακρέων*·

Μεὶς μὲν δὴ Ποσιδηϊὼν
ἔστηκεν, νεφέλας δ' ὕδωρ
βαρύ<νει Δία> τ' ἄγριοι
χειμῶνες κατάγουσιν.[1]

7

Sch. *Il.* 3. 219 [*ἀστεμφές*]· *ἡ διπλῆ πρὸς τὸ ἀστεμφές· ὕτι τὸ ἀμετακίνητον· ὁ γὰρ Ἀνακρέων*·

. . . . σὺ γὰρ ἧς ἔμοιγ'
ἀστεμφής.

8

Sch. Dion. Perieg. 332 . . . Ταρτησσούς, *ἣν καὶ ὁ Ἀνακρέων φησὶ πανευδαίμονα, ταύτης γὰρ <Ἀργανθώνιον> βασιλεύειν.*[2]

Str. 3. 151 [*π. πλούτου τοῦ τῶν Ἰβήρων*]· *ὑπολάβοι δ' ἄν τις ἐκ τῆς πολλῆς εὐδαιμονίας καὶ μακραίωνας ὀνομασθῆναι τοὺς*

[1] *B*, cf. Hor. *Epod.* 13. 1 : mss Sch. *νεφέλη δ' ὕδ. βαρὺ δ' ἄγριοι χ. κ.*, Eust. *νεφέλαι δ' ὕδατι βαρυνονται ἄγ. δὲ χ. παταγοῦσιν* [2] *B* : mss *αὕτη γὰρ βασιλεύει*

5

Eustathius on the *Odyssey* ['thrice blest']: . . . and in Anacreon:

but O thrice out-swept Smerdies,

that is 'often swept out'[1]

6[2]

The Same on the *Iliad*: . . . Poseidon is the 'cause' comprising the sea, being the cause of 'drinking' (πόσις) owing to the rivers and other waters which spring forth after percolating from the sea, with which 'drinking' is connected the rain, itself 'drinkable' (πότιμος); and that is why in Attic the month of the winter solstice is called Poseideon; compare Anacreon:

Lo! the month of Poseidon is here; the clouds are heavy with water, and wild storms bring the sky-God down.

7

Scholiast on the *Iliad* ['immovable']: The mark is against ἀστεμφές, which means 'not to be moved'; compare Anacreon:

for thou to me wast immovable.

8[3]

Scholiast on Dionysius Periegetes: . . . Tartessus which Anacreon calls all-happy, for that Arganthonius reigned there.

Strabo *Geography* [on the wealth of the Iberians]: Well might one believe the inhabitants of these parts to have a

[1] meaning doubtful, perh. 'well-groomed, foppish' [2] cf. Sch. *Il.* 15. 192 [3] cf. Plin. *N.H.* 7. 154, Hdt. 1. 163, Luc. *Macr.* 10, Phleg. Trall. *Macr.* 4

ἐνθάδε ἀνθρώπους, καὶ μάλιστα τοὺς ἡγεμόνας· καὶ διὰ τοῦτο Ἀνακρέων μὲν οὕτως εἶπεν·[1]

Ἔγωγ' οὔτ' ἂν Ἀμαλθείης
βουλοίμην κέρας οὔτ' ἔτεα
πεντήκοντά τε κἀκατὸν
Ταρτησσοῦ βασιλεῦσαι
πανευδαίμονος . . .[2]

Ἡρόδοτος δὲ καὶ τὸ ὄνομα τοῦ βασιλέως κατέγραψε καλέσας Ἀργανθώνιον.

9

Ath. 15. 687 e [*π. ὑδμῶν ἡδειῶν*]· *καὶ ὁ σοφὸς δὲ Ἀνακρέων λέγει που·*

. . . . τί μ' οὐ πέτῃ
σηράγγων κοιλώτερα
στήθεα χρισόμενος μύρῳ ;[3]

τὰ στήθη παρακελευόμενος μυροῦν, ἐν οἷς ἐστιν ἡ καρδία, ὡς καὶ ταύτης δηλονότι παρηγορουμένης τοῖς εὐώδεσι.

10

Et. Mag. 601. 20 *νένωται· . . . ἀπὸ τοῦ νενόηται . . . καὶ παρ' Ἀνακρέοντι ἡ μετοχή·*

ὁ δ' ὑψηλὰ νενωμένος

11

Ibid. 259. 28 *Δεύνυσος· ὁ Διόνυσος· Ἀνακρέων·*

. . . . πολλὰ δ' ἐρίβρομον
Δεύνυσον

τοῦ ι τραπέντος εἰς ε γίνεται Δεόνυσος· οὕτω γὰρ Σάμιοι προφέρουσι· καὶ συναιρέσει Δεύνυσος, ὡς Θεόδοτος Θεύδοτος.

[1] mss *Ἀνακρέοντα μὲν οὕτως εἰπεῖν*, and below *Ἡρόδοτον* and *καταγράψας καλέσαντα* [2] *ἔγωγ' οὔτ' ἂν* Mehl : mss *ἐγώ τ' ἂν οὔτ'* *οὔτ' ἔτεα* Tyrwh : mss *οὔτε τὰ* *τε*: cf. Pind. *O.* 1. 79 *πανευδ.* not in Str. [3] *μ' οὐ E*, cf. Hipp. 30 *B*: Cas. *μὴ*: mss *μὴν* *σηράγγων* Heck., cf. Hesych. and

name for happiness and longevity, particularly their rulers; and it was for this reason Anacreon said:

I would not have Amalthea's horn, nor even a reign of a hundred years and fifty over all-happy Tartessus;[1]

Herodotus adds the name of the king in question, Arganthonius.

9

Athenaeus *Doctors at Dinner* [on sweet smells]: And the wise Anacreon says:

Come haste thee to anoint with unguent a bosom as hollow as a cave;[2]

exhorting him to anoint the bosom, in which lies the heart, clearly because the heart is soothed by sweet scents.

10[3]

Etymologicum Magnum: νένωται [for νενόηται] 'he is minded . . . and the participle in Anacreon:

but he, being lofty-minded

or 'proud' . . .

11

The Same: Δεύννσος, Deunysus:—Dionysus. Compare Anacreon:

and oft loud-shouting Deunysus

The ι becoming ε gives *Deonysus*, which is the Samian form—and by contraction *Deunysus*, like *Theodotus Theudotus*.

[1] the possessor of A.'s horn got all he wished [2] the idea is 'as deep-breasted as a woman' [3] cf. Fav. 298

βαθύκολπος: mss συρίγγων χρισόμενος *E*, cf. context: mss aor. κοῖλώτερα *B*: mss κοιλότ.

12

Sch. Eur. *Hec.* 361 [*τὴν Ἑκτορός τε χἀτέρων πολλῶν κάσιν*]· *τὴν κάσιν· ὡς Ἀνακρέων λέγει·*

οὔτε μὴν ἀπάλην κάσιν[1]

σεσημείωται δὲ ὅτι τὴν θήλειαν κάσιν εἶπε, εἰ μὴ ἀποκοπή ἐστι τοῦ κασιγνήτην.

13

E.M. Vet. μύθεαι· *δεύτερον πρόσωπον παθητικοῦ ἐνεστῶτος· τοιοῦτόν ἐστιν τὸ παρ' Ἀνακρέοντι·*

Λευκίππην ἐπιδίνεαι.[2]

14

E.M. 713. 7 σίλλοι· *ἐπισκώμμα<τα> κατὰ τροπὴν τοῦ τ εἰς σ τίλλοι τινές· τίλλειν δὲ τὸ σκώπτειν, ὡς λέγει Ἀνακρέων· τίλλει κ.τ.λ.*

E.M. Vet. σίλλος· . . . *Ἀνακρέων ἐν τῷ πρώτῳ·*

Οὗτος δηὖτ' Ἰᾱλυσίους[3]
τίλλει τοὺς κυανασπίδας.[4]

15

Ath. 13. 599 c *ἐν τούτοις Ἑρμησιάναξ σφάλλεται συγχρονῶν Σαπφὼ καὶ Ἀνακρέοντα, τὸν μὲν κατὰ Κῦρον καὶ Πολυκράτην γενόμενον, τὴν δὲ κατ' Ἀλυάττην τὸν Κροίσου πατέρα. Χαμαιλέων δ' ἐν τῷ Περὶ Σαπφοῦς καὶ λέγειν τινάς φησιν εἰς αὐτὴν πεποιῆσθαι ὑπὸ Ἀνακρέοντος τάδε·*

Σφαίρῃ δηὖτέ με πορφυρῇ
βάλλων χρυσοκόμης Ἔρως
νήνι ποικιλοσαμβάλῳ[5]
συμπαίζειν προκαλεῖται·

[1] οὔτε μὴν Cob : mss οὔτε μὲν, τότε μ' [2] Λευκίππην Hoffm : mss -ῃ, -ων [3] Hoffm, cf. ibid. 162 Ἀνακρέων Ἰηλυσίους τίλλει κασπίδας : *B* δηῦτε Θαλυσίοις : mss Διΐ τ'

12

Scholiast on Euripides ['the sister of Hector and of many another']: *τὴν κάσιν* 'the sister' [not 'brother']; compare Anacreon:

nor yet the tender sister

It is marked because he uses *κάσις* as a feminine noun, unless indeed it is a shortened form of *κασιγνήτη* 'sister.'

13

Old Etymologicum Magnum: *μύθεαι* 'thou sayest'; second person of the present passive; compare Anacreon's *ἐπιδίνεαι*:

thou art crazy for Leucippè.

14[1]

Etymologicum Magnum: *σίλλοι*:—'jests,' by change of *τ* to *σ*, thus some writers for *τίλλοι*; and *τίλλειν* means 'to jest or flout': compare Anacreon: 'Flouts' etc.

Old Etymologicum Magnum: *σίλλος* 'jest' . . . Compare Anacreon in the first Book:

Lo! this man flouts the blue-bucklered warriors of Ialysus.

15

Athenaeus *Doctors at Dinner* [on a poem of Hermesianax]: Now Hermesianax is mistaken here in synchronising Sappho and Anacreon, the one having flourished in the reign of Alyattes father of Croesus, and the other in the time of Cyrus and Polycrates. Chamaeleon in his book *On Sappho* declares that she is held by some authorities to have been the person to whom Anacreon addressed the following poem:

Lo now! golden-haired Love hits me with his purple ball and calls me forth to play with a motley-

[1] cf. *E.M. Vet.* 162, *E.M.* 436. 16, Orion 148. 12

ἀλυσίοις *τίλλει* confirmed by *E.M.* 713. 7 [4] *B*: mss *κυνασπίδας* [5] Seid, cf. *E.M.* 448, 29 n: mss *ποικίλος λαμβάνω*

ἡ δ', ἐστὶν γὰρ ἀπ' εὐκτίτου
Λέσβου,[1] τὴν μὲν ἐμὴν κόμην,
λευκὴ [2] γάρ, καταμέμφεται
πρὸς δ' ἄλλον τινὰ χάσκει.[3]

καὶ τὴν Σαπφὼ δὲ πρὸς αὐτὸν ταῦτά φησιν εἰπεῖν· 'Κεῖνον, ὦ χρυσόθρονε Μοῦσ', ἔνισπες | ὕμνον, ἐκ τᾶς καλλίγυναικος ἐσθλᾶς | Τήϊος χώρας ὃν ἄειδε τερπνῶς | πρέσβυς ἀγαυός.' ὅτι δὲ οὐκ ἔστι Σαπφοῦς τοῦτο τὸ ᾆσμα πάντι που δῆλον. ἐγὼ δὲ ἡγοῦμαι παίζειν τὸν Ἑρμησιάνακτα περὶ τούτου τοῦ ἔρωτος.

16

Apoll. *Synt.* 238 καὶ δὴ παρείπετο τῷ χρῶ παραγωγὴ τοῦ χρῆμι, ὡς φημί, ἀφ' οὗ τρίτον πρόσωπον χρῆσίν, ὡς φησίν, ἐξ οὗ τὸ χρή ἐν ἀποκοπῇ ἐπετελεῖτο, ὁμοίως τῷ παρ' Ἀνακρέοντι·

. . . . . σὲ γὰρ
φὴ Ταργήλιος ἐμμελέως
δισκεῖν . . .

17

Chrys. ἀποφατ. 22 Ἀνακρέων οὕτως ἀπεφήνατο·

οὐδ' εὐπέμπελός εἰμι[4]
οὐδ' ἄστοισι προσηνής.

18

Heph. 64 [π. ἀντισπαστικοῦ]· τὸ δὲ τὴν δευτέραν (συζυγίαν) ἰαμβικὴν ἔχον (καταληκτικὸν τετράμετρον) καλεῖται Πριαπεῖον, οἷον·

Ἡρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,
οἴνου δ' ἐξέπιον κάδον, νῦν δ' ἀβρῶς ἐρύεσσαν
ψάλλω πηκτίδα τῇ φίλῃ κωμάζων Πολιάργῃ.[5]

[1] Barnes: mss εὐκτικοῦ Λ. [2] λευκὴν γ. ? [3] ἄλλον Dalecamp: mss corr. in mal. part. ἄλλην (γυναῖκα would be required)
[4] *B*, cf. Aesch. *Eum.* 476: pap. ΟΥΔΕΥΤΕΜΠΕΔΟCΕΙΜΙ [5] *E*: Sitz. Πολιάρχῃ, Wil. παρ' Ἰάμβῃ: mss ποδὶ ἀβρῇ (Orion's reading 3. 11), παιδὶ ἀβρῇ (impossible order)

slippered maid; but no, she hails from grand Lesbos, and so she finds fault with my hair because it is white, and goes gaping after another;

and says that Sappho replied to him thus: 'The hymn thou hast uttered O golden-throned Muse, is that which the illustrious old Teian sang so delightfully from that noble land of fair women'; but it is perfectly obvious, surely, that this poem is not the work of Sappho, and for my part I think that Hermesianax is not speaking seriously.

16[1]

Apollonius *Syntax*: The form χρῆμι was actually used for χρῶ, like φημί, and the third person of it was χρῆσι, like φησί, with the shortened form χρή 'it is right or necessary'; compare [the form φή 'he says'] in Anacreon:

For Targelius saith thou pitchest the quoit full well.

17

Chrysippus *Negatives*: Anacreon has said:

Nor am I easy-going, nor yet pleasant to my fellow-citizens.

18[2]

Hephaestion *Handbook of Metre* [on the antispastic]: The catalectic tetrameter which has the second dipody iambic is called Priapeian, for instance:

I have dined on a morsel of thin mealcake, but I drained a whole keg of wine, and now I thrum delicately my lovely lute in a serenade to dear Poliagrè.

[1] cf. Bek. *An.* 2. 543. 7, Sch. *Il.* 5. 256, Cram. *A.O.* 4. 411. 23 (τὸ δὲ Ταργήλιον ὄνομα δαίμονός ἐστι), Choer. 2. 495, Joh. Alex. *de arc.* 21 [2] cf. Ath. 11. 472 e (explains κάδος as 'cup' and gives author's name), 14. 646 d, Poll. 10. 70 ('Ανακρέων), Apoll. *Lex. Hom.* 106. 6, Apost. 8. 68 c

19

Ath. 14. 634 c [*π. μαγάδιδος*]· *ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων λέγει που·*

. . . . . ψάλλω δ' εἰκοσίχορδον[1]
<Λυδιστὶ>[2] μαγάδην ἔχων, ὦ Λεύκασπι, σὺ
δ' ἡβᾷς.[3]

20

Sch. *Od.* 8. 294 [Σίντιας ἀγριοφώνους]· *καὶ Ἀνακρέων δὲ ὡς πολεμικῶν ὅπλων τεχνίτας μέμνηται·*

Τί μοι τῶν ἀγκυλοτόξων[4]
<Σιντιέων> φιλοκιμμέρων[5] καὶ Σκυθέων μέλει;

21

Heph. *π. ποιημ.* 133 *εἰσὶ δὲ ἐν τοῖς ποιήμασι καὶ οἱ ἀρρενικῶς οὕτω καλούμενοι ἐπῳδοί, ὅταν μεγάλῳ στίχῳ πέριττόν τι ἐπιφέρηται . . . ὅταν δὲ ἔμπαλιν ἡ τάξις ᾖ, προῳδὸς καλεῖται, ὡς παρὰ Ἀνακρέοντι·*

Ἀρθεὶς δηῦτ' ἀπὸ λευκάδος
πέτρης ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.[6]

22

Ath. 4. 177 a [*π. αὐλῶν*]· *οἴδαμεν δὲ καὶ τοὺς ἡμιόπους καλουμένους, περὶ ὧν φησιν Ἀνακρέων·*

. . . . . τίς ἐρασμίην
τρέψας θυμὸν ἐς ἥβην τερένων ἡμιόπων ὑπ' αὐλῶν
ὀρχεῖται;[7]

εἰσὶ δ' οἱ αὐλοὶ οὗτοι ἐλάσσονες τῶν τελείων.

[1] Hart: mss *εἴκοσι χορδαῖσι* [2] *E*, cf. Ath. here and 14 634 f, and *ἀνωϊστί Od.* 4. 92 [3] *μαγάδην* Dind: mss *μάγαδιν*: or *μαγάδιν*, cf. Hesych, Soph. Fr. 217? [4] Cram.: mss *ἀγκύλων τόξων* [5] Cram.-*E*: mss *φιλοκιμέρων, φιλοκίμεως* [6] edd. *Λευκάδος* perh. needlesly, for Cape Colonna in Samos

19[1]

Athenaeus *Doctors at Dinner* [on the *magadis* or harp]: For the sweet Anacreon says:

And I thrum and thrum in the Lydian fashion
the harp of twenty strings, while you, Leucaspis,
play the roysterer.

20[2]

Scholiast on the *Odyssey* ['the Sintians of wild speech']: Anacreon too speaks of them as makers of weapons:

What care I for the Scythians and the crook-bowed
Sintians who befriend the Cimmerians?

21

Hephaestion *On Poems*: There are also in poems the so-called *ἐπῳδοί*—the noun is masculine—or epodes, when an addition is made to a long line . . . but when the addition comes first it is called a pro-ode, as in Anacreon:

Lo! I climb up and dive from the White Cliff into
the hoary wave, drunken with love.[3]

22

Athenaeus *Doctors at Dinner* [on flutes]: We know also the flutes called half-bores [that is, with half the usual number of holes or stops], of which Anacreon says:

Who turneth back his mind to delightsome youth
and danceth to the tender half-bore?

These flutes are smaller than the complete ones.

[1] cf. Ath. 14. 635 c, Poll. 4. 61 [2] cf. Cram. *A.P.* 3. 455. 29 [3] *or* Leucadian Cliff? see opp.

---

is still called *ἄσπρο κάβο* 'White Cape'; cf. also Eur. *Cyc.* 166 and Sa. vol. i pp. 151 3 [7] *ἐς ἦβην* Mehlhorn: mss *ἐσέβην* *τερένων ἡμιόπων* Cas., cf. Ath. 4. 182 c: mss *τέρεν* *ὡς ἡμίοπον*

23

Heph. 103 [π. Κρατινείου]· Εὔπολις δὲ ἐν τοῖς Ἀστρατεύτοις καὶ ἀτακτοτάτως συνέθηκε τὸ εἶδος· πῇ μὲν γὰρ τοιαῦτα ποιεῖ . . . πῇ δὲ τοιαῦτα· 'Καὶ συνεγιγνόμην ἀεὶ τοῖς ἀγαθοῖς φάγροισιν·' ὥσθ' ὅλον αὐτὸν χοριαμβικὸν ἐπίμικτον γενέσθαι, ὅμοιον Ἀνακρειοντείῳ τῷδε·

Σίμαλον εἶδον ἐν χόρῳ πηκτίδ' ἔχοντα κᾱλήν·

πῇ δὲ καὶ ἄλλοις ἐχρήσατο λίαν ἀτάκτοις σχήμασι.

24

Ibid. 57 [π. χοριαμβικοῦ]· πολὺ δ' ἐστὶ καὶ τὸ πρὸς τῇ κατάκλειδι τὴν δευτέραν συζυγίαν ἰαμβικὴν ἔχον (χοριαμβικὸν τετράμετρον καταληκτικόν), οἷόν ἐστι παρὰ μὲν Ἀνακρέοντι

ἐκ ποταμοῦ 'πανέρχομαι πάντα φέρουσα λάμπρα.

25

Ibid. 56 [π. χοριαμβικοῦ]· Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν (τοῦ χοριαμβικοῦ τετραμέτρου καταληκτικοῦ) δι' ὅλου ᾄσματος ἐκ τριβραχέος καὶ ἰάμβου ποιῆσαι, ὡς εἶναι κοινὴν λύσιν τῆς τε χοριαμβικῆς καὶ τῆς ἰαμβικῆς· ''Αναπέτομαι' κ.τ.λ.

Luc. *Herc. Gall.* 8 ἀλλ' ὅταν ἀναμνησθῶ τοῦ γέροντος ἐκείνου Ἡρακλέους, πάντα ποιεῖν προάγομαι καὶ οὐκ αἰδοῦμαι τοιαῦτα τολμῶν ἡλικιώτης ὢν τῆς εἰκόνος· ὥστε ἰσχὺς μὲν καὶ τάχος καὶ κάλλος καὶ ὅσα σώματος ἀγαθὰ χαιρέτω, καὶ ὁ Ἔρως ὁ σός, ὦ Τήϊε ποιητά, ἐσιδὼν κ.τ.λ.

'Αναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις
μετὰ τὸν Ἔρωτ'·[1] οὐ γὰρ ἐμοὶ <δηὖτε> θέλει συνηβᾶν
<κατάπερ ἔωθ', ἀλλ'> ἐσιδών μοι <τὸ> γένειον <ἤδη>[2]
ὑποπόλιον χρυσοφαείνων[3] πτερύγων ἀήταις
παραπέτεται.

[1] μετὰ *E*: mss διὰ [2] l. 2 from Sch. Ar. *Av.* 1372: supplements by *E* [3] mss -φαέννων

23

Hephaestion *Handbook of Metre* [on the Cratinean]: Eupolis in the *Exempt from Service* has used this form of verse very irregularly; sometimes he writes it thus . . . and sometimes like this: 'And I always consorted with good sea-breams,' so that it becomes a mixed choriambic like this of Anacreon:

I saw Simälus in the chorus with his pretty lyre.

Sometimes again he has used it in other irregular shapes.

24

The Same [on the choriambic]: A frequent variety of the choriambic tetrameter catalectic is that which has the second dipody iambic as well as the close; compare Anacreon:

I return from the river bringing all bright[1] . . .

25[2]

The Same [just before]: Anacreon throughout a whole poem has made the first dipody (of the choriambic tetrameter catalectic) of a tribrach and an iambus, so that there is 'resolution' common both to the choriambic and to the iambic[3]: 'Light-winged,' etc.

Lucian *The Gallic Hercules*: But when I remember that aged Heracles I begin to feel reckless and lose all shame to be doing such things at the statue's time of life; so strength and swiftness and beauty and all other bodily advantages may go hang, and your Love-God, O poet of Teos, may 'fly by me,' etc.

Light-winged I fly to Olympus to fetch master Love; for lo! he will not play with me as he used to do, but he has seen that my beard is getting grey now, and so he flies by me in the wind of his golden-shining wings.

Plutarch *Feminine Virtue*: No less famous than these collective deeds is the fight in which Cleomenes was driven from Argos by the poetess Telesilla. This woman, we are told, though the daughter of a doughty line, was of a sickly habit of body, and sent one day to the God to enquire how she might improve her health. When his reply came that she must pay court to the Muses, she obeyed him by devoting herself to poetry and music, and with such good effect that before very long she had both rid herself of her disorder and become the wonder of her fellow-countrywomen for her skill in poesy. And when the Spartan king Cleomenes, after great slaughter of the Argives—not however, as some authorities would have us believe,[3] to the number of seven thousand seven hundred seventy and seven—advanced upon the city, etc. . . . Those of the

reference to the heroism of T. and her countrywomen
[3] cf. Polyaen. 8. 33

τὰς μὲν πεσούσας ἐν τῇ μάχῃ τῶν γυναικῶν ἐπὶ τῆς ὁδοῦ τῆς Ἀργείας ἔθαψαν, ταῖς δὲ σωθείσαις ὑπόμνημα τῆς ἀριστείας ἔδοσαν ἱδρύσασθαι τὸν Ἐνυάλιον. τὴν δὲ μάχην οἱ μὲν ἑβδόμῃ λέγουσιν ἱσταμένου μηνός, οἱ δὲ νουμηνίᾳ γενέσθαι τοῦ νῦν μὲν τετάρτου, πάλαι δ' Ἑρμαίου παρ' Ἀργείοις, καθ' ἣν μέχρι νῦν τὰ Ὑβριστικὰ τελοῦσι, γυναῖκας μὲν ἀνδρείοις χιτῶσι καὶ χλαμύσιν, ἄνδρας δὲ πέπλοις γυναικῶν καὶ καλύπτραις ἀμφιεννύντες.

Euseb. Ol. 82. 4:—Crates comicus et Telesilla cognoscebantur.

Max. Tyr. 37. 5 καὶ Σπαρτιάτας ἤγειρεν τὰ Τυρταίου ἔπη, καὶ Ἀργείους τὰ Τελεσίλλης μέλη, καὶ Λεσβίους ἡ Ἀλκαίου ᾠδή.

Anth. Pal. 9. 26 Ἀντιπάτρου Θεσσαλονικέως εἰς τὰς ἐνιέα λυρικὰς ποιητρίας·

Τάσδε θεογλώσσους Ἑλικὼν ἔθρεψε γυναῖκας
ὕμνοις καὶ Μακεδὼν Πιερίας σκόπελος,
Πρήξιλλαν, Μοιρώ, Ἀνύτης στόμα, θῆλυν Ὅμηρον,
Λεσβιάδων Σαπφὼ κόσμον ἐϋπλοκάμων,
Ἤρινναν, Τελέσιλλαν ἀγακλέα, καὶ σέ, Κόρινν', ἁ
θοῦριν Ἀθηναίης ἀσπίδα μελψαμέναν,
Νοσσίδα θηλύγλωσσον, ἰδὲ γλυκυαχέα Μύρτιν,

[1] cf. Paus. 6. 22. 9, Sch. Pind. *P.* 2. 12, *N.* 1. 3 and see Herzog *Philol.* 1912, who connects with this victory a 4th cent. inscription which records the monthly celebration of a sacrifice to Apollo and Artemis 'from the time when Apollo

women who fell in the battle were buried upon the Argive Way, while the prowess of the survivors was accorded a memorial in the shape of a shrine of Enyalius. The battle took place according to some writers on the seventh, according to others on the first, of the month which is now reckoned the fourth and was known anciently at Argos as the month of Hermes; and on this day the Argives still celebrate the Hybristica or Feast of Outrage, in which they dress women in the shirts and cloaks of men, and men in the robes and wimples of women.[1]

Eusebius *Chronicle*: Fourth year of the 82nd Olympiad (B.C. 449):—Flourished the comedy-writer Crates, and Telesilla.[2]

Maximus of Tyre *Dissertations*: The Spartans were roused by the lines of Tyrtaeus, the Argives by the lyrics of Telesilla, and the Lesbians by the song of Alcaeus.

Palatine Anthology: Antipater of Thessalonica on the Nine Lyric Poetesses:—These are the divinely-tongued women who were reared on the hymns of Helicon and the Pierian Rock of Macedon,—Praxilla and Moero; Anytè the woman-Homer and Sappho the ornament of the fair-tressed Lesbian dames; Erinna, renowned Telesilla, and that Corinna who sang of Athena's martial shield; Nossis the maiden-throated and Myrtis the delightful-voiced;

drove out Pleistarchus by night.' Cleomenes reigned c. 520–489, P. 480 458. According to Plut. the second Spartan king acting with C. was Damaratus (510 491) [2] cf. Sync. *Chron.* 470. 13

πάσας ἀενάων ἐργάτιδας σελίδων.
Ἐννέα μὲν Μούσας μέγας Οὐρανός, ἐννέα δ' αὐτὰς
Γαῖα τέκεν, θνατοῖς ἄφθιτον εὐφροσύναν.

See also Hdt. 3. 131, Arist. *Pol.* 1303 a 6, Luc.

ΤΕΛΕΣΙΛΛΗΣ

1

Heph. 67 [π. ἰωνικοῦ τοῦ ἀπὸ μείζονος]· ἔστι τοίνυν ἐπίσημα ἐν τῷ ἰωνικῷ πενθημιμέρη[1] μὲν τὰ τοιαῦτα, οἷς ἡ Τελέσιλλα ἐχρήσατο·

Τᾷδ' Ἄρτεμις, ὦ κόραι,
φεύγοισα τὸν Ἀλφέον[2]

2

Ath. 14. 619 b [π. φδῶν]· ἡ δὲ εἰς Ἀπόλλωνα φδὴ

φιληλιάς

ὡς Τελέσιλλα παρίστησιν.

3

Paus. 2. 35. 2 [π. Ἑρμιονῆς]· Ἀπόλλωνος δέ εἰσι ναοὶ τρεῖς καὶ ἀγάλματα τρία· καὶ τῷ μὲν οὐκ ἔστιν ἐπίκλησις, τὸν δὲ Πυθαέα ὀνομάζουσι καὶ Ὄριον τὸ τρίτον. τὸ μὲν δὴ τοῦ Πυθαέως ὄνομα μεμαθήκασι παρὰ Ἀργείων· τούτοις γὰρ Ἑλλήνων πρώτοις ἀφικέσθαι Τελέσιλλά φησι τὸν Πυθαέα ἐς τὴν χώραν Ἀπόλλωνος παιδ κὶ[3] ὄντα.

[1] mss ἐφθημ. [2] τᾷδ' *E*: mss here ᾶδ, ά δ, Epit. οὐδ' [3] *E*: mss παῖδα

all of them fashioners of the page that is for ever. Nine Muses came of the great Heaven, and nine likewise of the Earth, to be a joy undying unto mortal men.

Amor. 30 (vol. i. p. 171), Clem. Al. *Str.* 4. 19. 386, Suid. s.v., Tat. *Or. ad Gr.* 33, Phot. *Bibl.* 167 p. 115 a.

TELESILLA

1[1]

Hephaestion *Handbook of Metre* [on the *Ionicum a maiore*]: A notable example of the Ionic is the two-and-a-half foot line used by Telesilla:

Here Artemis, O maidens, fleeing from Alpheüs[2]

2

Athenaeus *Doctors at Dinner* [on songs]: The song to Apollo is called the Phileliad or

sun-loving

as is shown by Telesilla.

3

Pausanias *Description of Greece* [on the city of Hermione]: Here are three temples of Apollo, each with an image. One of these has no particular title, the second they call Apollo Pythaeus, and the third Apollo of the Boundaries. The former name they have learnt from the Argives, whose country, according to Telesilla, was the first district of Greece in which Pythaeus, who was a favourite of Apollo, arrived.[3]

[1] cf. Heph. 28, Epit. Heph. 361 Consbr. [2] cf. Paus. 6. 22. 9 [3] cf. Paus. 2. 24. 1

4

Paus. 2. 28. 2 [π. Ἐπιδαύρου]· ἐπὶ δὲ τῇ ἄκρᾳ τοῦ ὄρους Κορυφαίας ἐστὶν ἱερὸν Ἀρτέμιδος οὐ καὶ Τελέσιλλα ἐποιήσατο ἐν ἄσματι μνήμην.

5

Apollod. *Bibl.* 3. 5. 5 [π. Νιοβιδῶν]· ἐσώθη δὲ τῶν μὲν ἀρρένων Ἀμφίων, τῶν δὲ θηλειῶν Χλωρὶς ἡ πρεσβυτάτη,[1] ἣν Νηλεὺς συνῴκησε, κατὰ δὲ Τελέσιλλαν[2] ἐσώθησαν Ἀμύκλας καὶ Μελίβοια, ἐτοξεύθη δὲ ὑπ' αὐτῶν καὶ Ἀμφίων.

6

Hesych.

βελτιώτας·[3]

τοὺς[4] βελτίους Τελέσιλλα.

7

Ath. 11. 477 f [π. δείνου ποτηρίου]· Τελέσιλλα δὲ ἡ Ἀργεία καὶ τὴν ἄλω καλεῖ

δῖνον[5]

8

Poll. 2 223 [π. τριχῶν]· . . . καὶ παρὰ Φερεκράτει οὐλοκέφαλος·

οὐλοκίκιννα

δὲ Τελέσιλλα εἴρηκε.

9

Sch. *Od.* 13. 289 [δέμας δ' ἤϊκτο (Ἀθήνη) γυναικὶ καλῇ τε μεγάλῃ τε]· ἐκ τῆς κατὰ τὴν ὕψιν κοσμιότητος καὶ αἰδοῦς καὶ τοῦτο[6] ὑπονοεῖν δίδωσι, καθὰ καὶ Ξενοφῶν καὶ Τελέσιλλα ἡ Ἀργεία διαγράφουσιν Ἀρετῆς καὶ Καλοκαγαθίας εἰκόνα.

[1] *B*: mss -τέρα [2] ms τελεσίλα [3] Lob: βελτιωτέρας [4] mss τὰς [5] mss δεῖνον, δῖνον corr to δεῖνον [6] ἐκ τούτου τὴν κατὰ τ. ὄ. . . . κοσμιότητα καὶ αἰδῶ omitting καὶ τοῦτο?

4

Pausanias *Description of Greece* [on Epidaurus]: Upon the top of Mount Coryphaea there is a temple of Artemis which is mentioned in a poem of Telesilla's.

5

Apollodorus *Library* [on the children of Niobe]: The only son saved was Amphion and the only daughter Chloris, the eldest, who had become the wife of Neleus, though according to Telesilla the survivors were Amyclas and Meliboea, Amphion perishing with the rest.[1]

6

Hesychius Glossary: βελτιώτας :—

the better sort

used for βελτίους by Telesilla.

7

Athenaeus *Doctors at Dinner* [on the cup called *deinos*]: Telesilla of Argos speaks of the threshing-floor as *dinos* or

the round

8

Pollux *Vocabulary* [on hair]: . . . and in Pherecrates 'curly-pate'; compare Telesilla's

curly-locks

9

Scholiast on the *Odyssey* ['And in form Athene was like to a tall and beautiful woman']: By this means he conveys to us the comeliness and modesty of her demeanour (?), just as Xenophon portrays Manly Refinement, and Telesilla of Argos Virtue.

[1] cf. Paus. 2. 21. 10, who identifies Mel. with Chloris

ΣΙΜΩΝΙΔΟΥ

Βίος

Str. 10. 486 Κέως δὲ τετράπολις μὲν ὑπῆρξε, λείπονται δὲ δύο, ἥ τε Ἰουλὶς καὶ ἡ Καρθαία, εἰς ἃς συνεπολίσθησαν αἱ λοιπαί, ἡ μὲν Ποιήεσσα εἰς τὴν Καρθαίαν ἡ δὲ Κορησία εἰς τὴν Ἰουλίδα. ἐκ δὲ τῆς Ἰουλίδος ὅ τε Σιμωνίδης ἦν ὁ μελοποιὸς καὶ Βακχυλίδης ἀδελφιδοῦς ἐκείνου, καὶ μετὰ ταῦτα Ἐρασίστρατος ὁ ἰατρὸς καὶ τῶν ἐκ τοῦ περιπάτου φιλοσόφων Ἀρίστων . . . παρὰ τούτοις δὲ δοκεῖ τεθῆναί ποτε νόμος, οὗ μέμνηται καὶ Μένανδρος· ‘Καλὸν τὸ Κείων νόμιμόν ἐστι, Φανία· | ὁ μὴ δυνάμενος ζῆν καλῶς οὐ ζῇ κακῶς.’ προσέταττε γάρ, ὡς ἔοικεν, ὁ νόμος τοὺς ὑπὲρ ἑξήκοντα ἔτη γεγονότας κωνειάζεσθαι τοῦ[1] διαρκεῖν τοῖς ἄλλοις τὴν τροφήν.

Hdt. 5. 102 ἐπόμενοι δὲ κατὰ στίβον αἱρέουσι αὐτοὺς ἐν Ἐφέσῳ· καὶ ἀντετάχθησαν μὲν οἱ Ἴωνες, συμβαλόντες δὲ πολλὸν ἐσσώθησαν. καὶ πολλοὺς αὐτῶν οἱ Πέρσαι φονεύουσι ἄλλους τε ὀνομαστοὺς ἐν δὲ δὴ καὶ Εὐαλκίδην στρατηγέοντα Ἐρετριέων, στεφανηφόρους τε ἀγῶνας ἀναιρηκότα καὶ ὑπὸ Σιμωνίδεω τοῦ Κηΐου πολλὰ αἰνεθέντα.

[1] mss κα᾽ τοῦ

SIMONIDES

Life

Strabo *Geography*: Ceos was originally a tetrapolis, but only two of the four remain as separate cities, Iulis and Carthaea, the former having absorbed Coresia and the latter Poieëssa. Iulis was the birthplace of the lyric poet Simonides and of his nephew Bacchylides, and later of the physician Erasistratus and the Peripatetic philosopher Ariston . . . There appears to have been a law here, mentioned by Menander in the lines 'The Cean custom takes my fancy still, | The man who can't live well shall not live ill,' whereby, in order to make the supplies go round, all citizens who had reached the age of sixty should drink the hemlock.[1]

Herodotus *Histories*: Following upon their track, the Persians came up with the flying Ionians at Ephesus, and when they turned and showed fight inflicted upon them a severe defeat, after which they put to the sword a number of well-known men, including the Eretrian commander Eualcides, who had taken the prize at crown-contests in the Games and been highly eulogised by Simonides of Ceos.

[1] hence partly perh. S.'s voluntary exile after middle-age; had the law been enforced in his case, much of his finest extant work would never have been done

[Plat.] *Hipparch.* 228 c . . . Πεισιστράτου δὲ υἱεῖ Ἱππάρχῳ, ὃς τῶν Πεισιστράτου παίδων ἦν πρεσβύτατος καὶ σοφώτατος, ὃς ἄλλα τε πολλὰ καὶ καλὰ ἔργα σοφίας ἀπεδείξατο καὶ . . . Σιμωνίδην τὸν Κεῖον ἀεὶ περὶ αὑτὸν εἶχεν μεγάλοις μισθοῖς καὶ δώροις πείθων.

Ael. *V.H.* 4. 24 Λεωπρέπης ὁ Κεῖος ὁ τοῦ Σιμωνίδου πατὴρ ἔτυχέ ποτε ἐν παλαίστρᾳ καθήμενος· εἶτα μειράκια πρὸς ἀλλήλους οἰκείως διακείμενα ἤρετο τὸν ἄνδρα πῶς ἂν αὐτοῖς ἡ φιλία διαμένοι μάλιστα· ὁ δ' εἶπεν· 'Ἐὰν ταῖς ἀλλήλων ὀργαῖς ἐξίστησθε καὶ μὴ ὁμόσε χωροῦντες τῷ θυμῷ εἶτα παροξύνητε ἀλλήλους κατ' ἀλλήλων.'

Mar. Par. 54 ἀφ' οὗ Σιμωνίδης ὁ Λεωπρέπους ὁ Κεῖος ὁ τὸ μνημονικὸν εὑρὼν ἐνίκησεν Ἀθήνησι διδάσκων, καὶ αἱ εἰκόνες ἐστάθησαν Ἁρμοδίου καὶ Ἀριστογείτονος, ἔτη ΠΗΔΙΙΙ.

Suid. Σιμωνίδης· (α΄)· Λεωπρέπους, Ἰουλιήτης τῆς ἐν Κέῳ τῇ νήσῳ πόλεως, λυρικός, μετὰ Στησίχορον τοῖς χρόνοις· ὃς ἐπεκλήθη Μελικέρτης διὰ τὸ ἡδύ. καὶ τὴν μνημονικὴν δὲ τέχνην εὗρεν οὗτος. προσεξεῦρε δὲ καὶ τὰ μακρὰ τῶν στοιχείων καὶ διπλᾶ, καὶ τῇ λύρᾳ τὸν τρίτον φθόγγον. γέγονε δὲ ἐπὶ τῆς πεντηκοστῆς ἕκτης Ὀλυμπιάδος· οἱ δὲ ἐπὶ τῆς ἑξηκοστῆς δευτέρας γεγράφασι. καὶ παρέτεινε μέχρι τῆς ἑβδομηκοστῆς ὀγδόης, βιοὺς ἔτη πθ'. καὶ γέγραπται αὐτῷ Δωρίδι διαλέκτῳ

[Plato] *Hipparchus*: . . . Hipparchus, the eldest and wisest of the sons of Peisistratus, who among other fine ways showed his wisdom . . .[1] in inducing Simonides of Ceos by high pay and valuable presents to be in continual attendance upon him.

Aelian *Historical Miscellanies*: Leoprepes of Ceos, the father of Simonides, was sitting one day in a wrestling school, when some boys who had formed mutual friendships asked the grown-up man how they could best make their friendship last; to which he replied: 'By making allowance for one another's dispositions instead of rousing one another's anger by a challenge of spirit.'

Parian Chronicle: From the time when the Ceian Simonides son of Leoprepes, the inventor of the system of memory-aids, won the chorus-prize at Athens, and the statues were set up to Harmodius and Aristogeiton, 213 years (B.C. 477).

Suidas *Lexicon*: Simonides (1st notice):—Son of Leoprepes, of Iulis, a city of the island of Ceos; a lyric poet; coming next to Stesichorus; called, because of the sweetness of his style, Melicertes; originator of the art of mnemonics. He also invented the signs for the long vowels, H and Ω, and the double letters Ξ and Ψ, [as well as the third note on the lyre[2]]. He was born in the 56th Olympiad (B.C. 556–553)[3]—or according to some accounts in the 62nd (532–529)—and lived till the 78th (468–465), attaining the age of eighty-nine. He wrote the following works in the Doric dialect:—*The*

[1] cf. p. 127 [2] this prob. belongs to an earlier Simonides cf. Euseb. Ol. 29 [3] cf. Cic. *Rep.* 2. 10, Euseb. (Ol. 55. 3)

Ἡ Καμβύσου καὶ Δαρείου Βασιλεία, καὶ Ξέρξου Ναυμαχία, καὶ Ἡ ἐπ' Ἀρτεμισίῳ Ναυμαχία, δι' ἐλεγείας· ἡ δ' ἐν Σαλαμῖνι μελικῶς· Θρῆνοι, Ἐγκώμια, Ἐπιγράμματα, Παιᾶνες, καὶ Τραγῳδίαι, καὶ ἄλλα. οὗτος ὁ Σιμωνίδης μνημονικός τις ἦν εἴπερ τις ἄλλος . . .

Vit. Aesch. Biog. Gr. 119 . . . κατὰ δ' ἐἰους ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἠσσηθεὶς Σιμωνίδῃ (ὁ Αἰσχύλος). τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον.

Ar. *Av.* 919:

ΠΟ. *μέλη πεποίηκ' ἐς τὰς Νεφελοκοκκυγίας*
τὰς ὑμετέρας κύκλιά τε πολλὰ καὶ καλὰ
καὶ παρθένεια καὶ κατὰ τὰ Σιμωνίδου.

Id. *Vesp.* 1410.

Id. *Pax.* 695

ΕΡ. *πρῶτον δ' ὅ τι πράττει Σοφοκλέης ἀνήρετο.*
ΤΡ. *εὐδαιμονεῖ· πάσχει δὲ θαυμαστόν·*
ΕΡ. *τὸ τί;*
ΤΡ. *ἐκ τοῦ Σοφοκλέους γίγνεται Σιμωνίδης.*
ΕΡ. *Σιμωνίδης; πῶς;*
ΤΡ. *ὅτι γέρων ὢν καὶ σαπρὸς*
κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι.

Sch. *ad loc.* Σιμωνίδης δοκεῖ πρῶτος σμικρολογίαν εἰσενεγκεῖν εἰς τὰ ᾄσματα καὶ γράψαι ᾆσμα μισθοῦ· τοῦτο δὲ καὶ Πίνδαρος ἐν τοῖς Ἰσθμιονίκαις (2. 10) φησὶν αἰνιττόμενος· ''Α Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις . . .'

Kingdom of Cambyses and Darius, The Sea-fight with Xerxes, The Sea-fight off Artemisium, these in elegiacs; *The Sea-fight at Salamis* in lyric metre; *Dirges, Eulogies, Inscriptions, Paeans, Tragedies,* etc. This Simonides had a very remarkable memory . . .[1]

Life of Aeschylus: According to some authorities, Aeschylus was defeated by Simonides in the competition for an elegy on those who fell at Marathon.[2] For the elegiac metre requires the fineness of detail which is associated with the rousing of sympathy, and that, as we have said, is foreign to Aeschylus.

Aristophanes *Birds*: POET: I've written some lyrics to your Cloudcuckooborough, a lot of fine dithyrambs and some maiden-songs, and—*you* know, the Simonides trick.

The Same *Wasps* (see on Lasus p. 223)[3].

The Same *Peace* (HERMES and TRYGAEUS):

H. She (Peace) first asked after Sophocles.

T. He's all right; but there's something remarkable happening to him.

H. What's that?

T. He's changing into Simonides.

H. Simonides? What d'ye mean?

T. I mean that now that he's old and off colour he'd go to sea on a hurdle to earn a groat.[4]

Scholiast *on the passage*: Simonides seems to have been the first to connect poetry with meanness of disposition and to write it for pay; which is what Pindar hints at in his Isthmians (2. 10), where he says, 'For the Muse was no seeker of gain then, nor worked for hire. . . .'

[1] cf. *Ox. Pap.* XV. 1800 below with Ar. *Nub.* 1355 f
[2] cf. *fr.* 89
[3] and *fr.* 13
[4] cf. Arist. *Eth. N.* 4. 1121 a 7

Sch. *ad. loc.* Pind. *νῦν, φησί, μισθοῦ συντάττουσι τοὺς ἐπινικίους, πρῶτον Σιμωνίδου προκαταρξαμένου . . .*

Plut. *Sen.* 5 *Σιμωνίδης ἔλεγε πρὸς τοὺς ἐγκαλοῦντας αὐτῷ φιλαργυρίαν, ὅτι τῶν ἄλλων ἀπεστερημένος διὰ τὸ γῆρας ἡδονῶν, ὑπὸ μιᾶς ἔτι γηροβοσκεῖται τῆς ἀπὸ τοῦ κερδαίνειν.*

Stob. *Fl.* 10. 62 *Σιμωνίδης ἐρωτηθεὶς διὰ τί ἐσχάτου γήρως ὢν φιλάργυρος εἴη, 'Ὅτι' εἶπεν 'βουλοίμην ἂν ἀποθανὼν τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν ἢ ζῶν δεῖσθαι τῶν φίλων, κατεγνωκὼς τῆς τῶν πολλῶν φιλίας τὸ ἀβέβαιον.'*

Plat. *Rep.* 1. 331 e *Ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, Σιμωνίδῃ γε οὐ ῥᾴδιον ἀπιστεῖν· σοφὸς γὰρ καὶ θεῖος ἀνήρ.*

Hibeh Pap. 17 *Ἀνηλωμάτων· Σιμωνίδου· εὐδοκιμεῖ δ' αὐτοῦ πρὸς ἀλήθειαν καὶ τὸ πρὸς τὴν Ἱέρωνος γυναῖκα λεχθέν. ἐρωτηθεὶς γὰρ εἰ πάντα γηράσκει 'Ναί' ἔφη 'πλήν γε κέρδους· τάχιστα δὲ αἱ εὐεργεσίαι'· καὶ τὸ πρὸς τὸν πυνθανόμενον διὰ τί εἴη φειδωλὸς ἔφη διὰ τοῦτ' εἶναι φειδωλός, ὅτι μᾶλλον ἄχθοιτο τοῖς ἀνηλωμένοις ἢ τοῖς περιοῦσιν, τούτων δὲ ἑκάτερον ἦθος μὲν ἔχειν φαῦλον παρὰ δὲ τὰς ὀργὰς καὶ τὰς ἀ[λογιστίας] τῶν ἀνθρώπων [εὐδοκι]μεῖ[ν], διύπερ οὔτε β[λάπτεσθαι] οὔτε ἁπλῶς εἰπεῖν [ἐξ αὐτῶ]ν ὠφελεῖσθαι· χαλεπὸν [δ' εἶναι] τὸ μὴ χρῆσθαι τοῖς αὐ[τοῦ β]ακτηρίοις ἀλλὰ τοῖς ἀλλοτρίοις, τὸ δὲ δανεισθὲν*[1] *ὀλιγοῦ μὲν εἴληπται προσανα-*

[1] sugg. Richards *C.Q.* 1907 : P. *ἀνηλωθὲν*

Scholiast *on the passage of Pindar*: He means that nowadays they compose victory-songs for pay, a custom begun by Simonides . . .[1]

Plutarch *Should Old Men Govern?*: Simonides said to the friends who accused him of penuriousness, that the pleasure of making profit was the one and only pleasure he had left to tend him in his old age.

Stobaeus *Anthology*: When Simonides was asked why at his advanced age he was so careful of his money, he replied, 'It is because I should rather leave money for enemies when I die than stand in need of friends while I live; for I know too well how few friendships last.'

Plato *Republic*: 'But still,' said I, 'I find it difficult to disbelieve a great and inspired artist like Simonides.'[2]

From a Papyrus of the 3rd Century B.C.: On Expenditure:—Simonides: The following sayings of his are also esteemed for their truth to nature. When asked by the wife of Hiero if all things grew old, he replied 'Yes, all, except love of gain; and acts of kindness sooner than anything else.' Again, when he was asked why he was so penurious, he answered that it was because he got more vexation from debit than from credit; either was really negligible, though both derived importance from the passions and unreasonableness of men; and so neither of them did him any harm, or, strictly speaking, any good; but it was irksome to use another man's staff instead of one's own; moreover, borrowed money might cost little at the moment,

[1] cf. Callim. *fr.* 77, where S. is described as 'grandson of Hyllichus' [2] cf. 335 e

λίσκεται δὲ τὸ διπλάσιον, διὸ δεῖ ἕλκειν τὰς ψήφους· καὶ τὸ παρ' αὐτοῦ δανείζεσθαι ὅταν τῇ ἀναγκαίᾳ καὶ φυσικῇ τροφῇ χρήσηται <καὶ> ὥσπερ τὰ ζῷα ἁπλῇ.

Arg. Theocr. 16 (cf. l. 10) λέγουσι γὰρ ἐκεῖνον (τὸν Σιμωνίδην) ἔχειν δύο κιβώτια, τὸ μὲν τῶν χαρίτων, τὸ δὲ τῶν δεδομένων.[1] ὅτε οὖν τις πρὸς αὐτὸν παρεγένετο χάριν αἰτούμενος, ἐκέλευε φέρειν τὰ κιβώτια καὶ δεικνύειν αὐτὰ ἀνοίξαντα· εὑρίσκετο οὖν τὸ μὲν τῶν χαρίτων κενόν, τὸ δὲ τῶν δεδομένων[1] πλῆρες· καὶ οὕτως ὁ τὴν δωρεὰν αἰτούμενος ἀνεκόπτετο.

Theocr. 16. 34

πολλοὶ ἐν Ἀντιόχοιο δόμοις καὶ ἄνακτος Ἀλεύα
ἁρμαλιὰν ἔμμηνον ἐμετρήσαντο πενέσται·
πολλοὶ δὲ Σκοπάδαισιν ἐλαυνόμενοι ποτὶ σακοὺς
μόσχοι σὺν κεραΐσιν ἐμυκήσαντο βύεσσι,
μυρία δ' ἅμ πεδίον Κραννώνιον ἐνδιάασκον
ποιμένες ἔκκριτα μῆλα φιλοξείνοισι Κρεώνδαις·
ἀλλ' οὔ σφιν τῶν ἦδος, ἐπεὶ γλυκὺν ἐξεκένωσαν
θυμὸν ἐς εὐρεῖαν σχεδίαν στυγνοῖο γέροντος,
ἄμναστοι δὲ τὰ πολλὰ καὶ ὄλβια τῆνα λιπόντες
δειλοῖς ἐν νεκύεσσι μακροὺς αἰῶνας ἔκειντο,
εἰ μὴ θεῖος ἀοιδὸς ὁ Κήϊος αἰόλα φωνέων
βάρβιτον ἐς πολύχορδον ἐν ἀνδράσι θῆκ' ὀνομαστοὺς
ὁπλοτέροις, τιμᾶς δὲ καὶ ὠκέες ἔλλαχον ἵπποι,
οἵ σφισιν ἐξ ἱερῶν στεφανηφόροι ἦνθον ἀγώνων.

[1] mss διδόντων: Stob. ἀργυρίου

[1] *lit.* draw the counters; *perh.* = draw them across one by one instead of pushing them en masse: cf. *A.P.* 9. 435 and

but in the end it cost twice as much; and so we ought to count every penny.[1] Lastly he declared that when he consumed only the necessary and natural food of man, simple food like that of the animals, he was borrowing from himself.[2]

Introduction to Theocritus 16 (cf. l. 10): The story goes that Simonides kept two boxes, the one for fees and the other for favours; and whenever any friend came asking a favour, he had the boxes brought in and opened before him, and cut short his importunity by discovering the favour-box to be empty and the fee-box full.[3]

Theocritus: Many indeed were the bondmen earned their monthly meed in the houses of Antiochus and King Aleuas, many the calves that went lowing with the horned kine home to byres of the Scopads, and ten thousand were the fine sheep that the shepherds of the plain of Crannon watched all night for the hospitable Creondae; but once all the sweet wine of their life was in the great cup, once they were embarked in the barge of the old man loathsome, the joyance and pleasure of those things was theirs no more: and though they left behind them all that great and noble wealth, they had lain among the vile dead long ages unremembered, had not the great Ceian cried sweet varied lays to the strings and famoused them in posterity, and had not the coursers that came home to them victorious out of the Games achieved the honour and glory which called the poet to his task.

διωθεῖν Theophr. *Char.* 24 [2] cf. Arist. *Rhet.* 4. 1 [3] cf. Stob. *Flor.* 10. 39 where the story is told of a man who asked for a eulogy and said he would take it as a favour (χάριν ἔξειν), and Plut. *Curios.* 10, Sch. *Il.* 24. 228

Sch. *ad loc.* . . . ἀντὶ τοῦ ἄγαν πλούσιοι, ὥστε πολλοὺς παρέχειν τὴν τροφήν. ἀλλ' οὐδὲν ἤνυσεν ὁ πλοῦτος αὐτῶν πρὸς τὴν νῦν δόξαν, εἰ μὴ ὑπὸ Σιμωνίδου ὑμνήθησαν . . . οἱ δὲ Σκοπάδαι Κραννώνιοι τὸ γένος· Κραννὼν δὲ πόλις Θεσσαλίας, ὅθεν Σκύπας ὁ Κραννώνιος Κρέοντος καὶ Ἐχεκρατείας υἱός. καὶ Σιμωνίδης ἐν Θρήνοις . . . ὁ Κηΐος· τὸν Σιμωνίδην φησί, παρόσον αὐτὸς τοῖς προειρημένοις ἐνδόξοις ἀνδράσι τῶν Θεσσαλῶν ἐπινικίους ἔγραψε καὶ θρήνους.

Plut. *Aud. Poet.* 15 d διὸ καὶ Σιμωνίδης μὲν ἀπεκρίνατο πρὸς τὸν εἰπόντα 'Τί δὴ μόνους οὐκ ἐξεπατᾷς Θεσσάλους;' ''Αμαθέστεροι γάρ εἰσιν ἢ ὡς ὑπ' ἐμοῦ ἐξαπατᾶσθαι.'

Diog. Laert. 2. 5. 46 . . . καθά φησιν Ἀριστοτέλης ἐν τρίτῳ περὶ Ποιητικῆς, ἐφιλονείκει . . . Πιττακῷ Ἀντιμενίδας καὶ Ἀλκαῖος, Ἀναξαγόρᾳ Σωσίβιος, καὶ Σιμωνίδῃ Τιμοκρέων.

Plat. *Rep.* 1. 331 e ΣΩ. λέγε δή, εἶπον ἐγώ, . . . τί φῂς τὸν Σιμωνίδην ὀρθῶς λέγειν περὶ δικαιοσύνης;—ΠΟ. Ὅτι, ἦ δ' ὅς, τὸ τὰ ὀφειλόμενα ἑκάστῳ ἀποδιδόναι δίκαιόν ἐστι.

Stob. *Anth.* 2. 42 Σιμωνίδου·—Σιμωνίδης ὁ μελοποιὸς εἰπόντος τινὸς ὅτι πολλοὶ αὐτὸν παρ' αὐτῷ κακῶς λέγουσιν, 'Οὐ παύσῃ' ἔφη 'ποτὲ σὺ τοῖς ὠσί με βλασφημῶν;'

Plut. *Garr.* ἐπὶ πᾶσι δὲ καὶ παρὰ ταῦτα πάντα δεῖ πρόχειρον ἔχειν καὶ μνημονεύειν τὸ Σιμωνίδειον, ὅτι λαλήσας μὲν πολλάκις μετενόησε σιωπήσας δ' οὐδέποτε.

Scholiast *on the passage*: . . . By this he implies the possession of great riches, so as to be able to feed many retainers. 'But all the same,' says he, 'their wealth would have been of no avail for the preservation of their glory, had their praises not been sung by Simonides.' . . . The Scopads were Crannonians by birth, and Crannon is a city of Thessaly, birthplace of Scopas son of Creon and Echecrateia. Compare Simonides in the *Dirges* . . . By 'the great Ceian' he means Simonides, who wrote victory-songs and dirges for the aforesaid great Thessalians.

Plutarch *On Listening to Poetry*: And that is why, when they asked Simonides why the Thessalians were the only people he never cheated, he replied 'They are too great dunces.'

Diogenes Laertius *Lives of the Philosophers*: According to Aristotle in the 3rd Book of his *Treatise on Poetry* (*fr.* 65) . . . Antimenidas and Alcaeus had a feud with Pittacus, Sosibius with Anaxagoras, and Timocreon with Simonides.[1]

Plato *Republic* (SOCRATES and POLEMARCHUS): What do you say, said I, that Simonides rightly says about justice?—That justice is to give every man his due.

Stobaeus *Anthology*: Simonides:—When a friend of his once told Simonides that he was hearing a great deal of slander about him, he replied 'Be so good as to stop defaming me with your ears.'

Plutarch *Garrulity*: In all things and for all these reasons we ought to bear in mind the saying of Simonides, that he had often repented speaking but had never repented holding his tongue.

[1] see *fr.* 110 and Timocr. Life (below)

Plut. *Qu. Con.* 3 *prooem.* Σιμωνίδης ὁ ποιητὴς ἔν τινι πότῳ ξένον ἰδὼν κατακείμενον σιωπῇ καὶ μηδενὶ διαλεγόμενον "Ὦ ἄνθρωπε" εἶπεν, "εἰ μὲν ἠλίθιος εἶ, σοφὸν πρᾶγμα ποιεῖς, εἰ δὲ σοφός, ἠλίθιον."

Ibid. *Glor. Ath.* 3 ὁ Σιμωνίδης τὴν μὲν ζωγραφίαν ποίησιν σιωπῶσαν προσαγορεύει, τὴν δὲ ποίησιν ζωγραφίαν λαλοῦσαν· ἃς γὰρ οἱ ζωγράφοι πράξεις ὡς γινομένας δεικνύουσιν, ταύτας οἱ λόγοι γεγενημένας διηγοῦνται καὶ συγγράφουσιν.

Arist. ap. Stob. *Anth.* 86. 25 (*fr.* 83) Σιμωνίδην δέ φασιν ἀποκρίνασθαι διερωτώμενον τίνες εὐγενεῖς, τοὺς ἐκ πάλαι πλουσίων φάναι.

Mich. Psell. π. Ἐνεργ. Δαιμ. 821 Migne . . . κατὰ τὸν Σιμωνίδην ὁ λόγος τῶν πραγμάτων εἰκών ἐστι.

Aristid. π. Παραφθέγματος 2. 513 [π. ἐπιγραμμάτων ὅτι αἱ πόλεις αὐταὶ ἑαυτὰς ἐπαινοῦσιν ἐπιγράφοντες αὐτά]· ὥστε ὥρα σοι σκώπτειν αὐτούς, ὡς ἀδολέσχας τινὰς νεκροὺς καὶ οὐκ εἰδότας ἡσυχίαν ἄγειν, κἂτά σε ἀνὴρ Σιμωνίδειος ἀμείψεται "Ὤνθρωπε, κεῖσαι ζῶν ἔτι μᾶλλον τῶν ὑπὸ γῆς ἐκείνων."

Theon. *Prog.* 1. 215 Walz . . . βλαβερῶς παραινεῖ Σιμωνίδης παίζειν ἐν τῷ βίῳ καὶ περὶ μηδὲν ἁπλῶς σπουδάζειν.

Arist. *Phys. Ausc.* 222 b 17 ἐν δὲ τῷ χρόνῳ πάντα γίνεται καὶ φθείρεται· διὸ καὶ οἱ μὲν σοφώτατον ἔλεγον, ὁ δὲ Πυθαγόρειος Πάρων ἀμαθέστατον, ὅτι καὶ ἐπιλανθάνονται ἐν τούτῳ, λέγων ὀρθότερον.

Plutarch *Dinner-Table Problems*: One evening over the wine, when the poet Simonides saw a guest sitting absolutely silent, he exclaimed 'If you're a fool, my good sir, you're wise in what you do; and if you're wise, you're a fool.'

The Same *The Glory of Athens*: Simonides calls 'painting silent poetry and poetry painting that speaks'; for the actions which painters depict as they are being performed, words describe after they are done.[1]

Aristotle in Stobaeus *Anthology*: We are told that when Simonides was asked what was meant by good birth, he replied 'ancestral wealth.'

Michael Psellus *The Function of Daemons*: . . . According to Simonides the word is the image of the thing.

Aristides *On the Extempore Addition* [how epitaphs prove that states are guilty of self-praise]: So you may laugh at the fallen [for praising themselves] and call them underground babblers who cannot keep still; and some disciple of Simonides will retort 'you are more dead above ground, my good man, than those are below it.'

Theon *First Course in Grammar*: . . . Simonides gives harmful advice when he says we should play all our lives and never be entirely in earnest.

Aristotle *Physics*: In time everything comes into existence and passes out of it; and that is why some writers[2] called Time wisest of things; though Paron the Pythagorean says it is foolishest, because we also forget in it—which indeed is more correct.

[1] cf. *Q.C.* 9. 15 [2] cf. Simplicius *ad loc.* (Simonides)

Ath. 2. 40 a [π. οἴνου]· Σιμωνίδης τὴν αὐτὴν ἀρχὴν τίθησιν οἴνου καὶ μουσικῆς,

Plut. *Cons. Apoll.* 6 Σιμωνίδης ὁ τῶν μελῶν ποιητὴς Παυσανίου τοῦ βασιλέως τῶν Λακεδαιμονίων μεγαλαυχουμένου συνεχῶς ἐπὶ ταῖς αὐτοῦ πράξεσι καὶ κελεύοντος ἀπαγγειλαί τι αὐτῷ σοφὸν μετὰ χλευασμοῦ, συνεὶς αὐτοῦ τὴν ὑπερηφανίαν συνεβούλευε μεμνῆσθαι ὅτι ἄνθρωπός ἐστι.

Ibid. *Vit. Them.* 5 οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς ἐνήρμοττε, τοῦτο μὲν ἑκάστου τῶν πολιτῶν τοὔνομα λέγων ἀπὸ στόματος, τοῦτο δὲ κριτὴν ἀσφαλῆ περὶ τὰ συμβολαῖα παρέχων ἑαυτόν. ὥστε που καὶ πρὸς Σιμωνίδην τὸν Κεῖον εἰπεῖν αἰτούμενόν τι τῶν οὐ μετρίων παρ' αὐτοῦ στρατηγοῦντος, ὡς οὔτ' ἐκεῖνος ἂν γένοιτο ποιητὴς ἀγαθὸς ᾄδων παρὰ μέλος οὔτ' αὐτὸς ἀστεῖος ἄρχων παρὰ νόμον χαριζόμενος.

Arist. *Rhet.* 2. 1391 a 8 [π. πλούτου]· ὅθεν καὶ τὸ Σιμωνιδου εἴρηται περὶ τῶν σοφῶν καὶ πλουσίων πρὸς τὴν γυναῖκα τὴν Ἱέρωνος ἐρομένην πότερον γενέσθαι κρεῖττον πλούσιον ἢ σοφόν, πλούσιον εἰπεῖν· τοὺς σοφοὺς γὰρ ἔφη ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις διατρίβοντας.

Cic. *N.D.* 1. 22 Roges me quid aut quale sit deus, auctore utar Simonide, de quo cum quaesivisset hoc idem tyrannus Hiero, deliberandi sibi unum diem postulavit; cum idem ex eo postridie quaereret, biduum petivit; cum saepius duplicaret numerum

[1] Ael. *V.H.* 9. 41 adds that when dying of hunger in

Ath. 2. 40 a [on wine]: Simonides ascribes wine and music to one and the same origin.

Plutarch *Consolation to Apollonius*: One day when the Spartan king Pausanias, who was suffering from swelled head, bade the lyrist Simonides tell him a wise tale with a jest in it, the poet, fully appreciating the king's conceited humour, advised him to remember that he was human.[1]

The Same *Life of Themistocles*: All the same he ingratiated himself with the people by calling every citizen by his name, and by putting his sure judgment at their disposal in matters of business. Indeed, when Simonides of Ceos made an improper request of him during the time of his command, he retorted that he would not be a good minister of state if he put favour before law, any more than Simonides would be a good poet if he sang out of tune.

Aristotle *Rhetoric* [on wealth]: Thus when Simonides[2] was speaking of wisdom and riches with the wife of Hiero, and she asked him which was better, to get wise or to get wealthy, he replied 'To get wealthy; for I see the wise sitting on the doorsteps of the rich.'

Cicero *The Nature of the Gods*: If you were to ask me the nature and attributes of God, I should reply in the words of Simonides, who when asked this very question by the despot Hiero asked for a day's notice of it, and when it was repeated the next day, requested two days more, and so on, doubling every

prison P. thrice exclaimed 'Ah! my friend from Ceos, you were right after all' [2] but cf. Plat. *Rep.* 6. 489 c, Sch. Diog. L. 2. 8. 4. § 69

dierum admiransque Hiero requireret cur ita faceret, 'Quia quanto diutius considero' inquit, 'tanto mihi res videtur obscurior.' sed Simonidem arbitror (non enim poeta solum suavis, verum etiam ceteroqui doctus sapiensque traditur), quia multa venirent in mentem acuta atque subtilia, dubitantem quid eorum esset verissimum, desperasse omnem veritatem.

Ath. 14. 656 d *ὄντως δ' ἦν ὡς ἀληθῶς κίμβιξ ὁ Σιμωνίδης καὶ αἰσχροκερδής, ὡς Χαμαιλέων φησίν. ἐν Συρακούσαις γοῦν, τοῦ Ἱέρωνος ἀποστέλλοντος αὐτῷ τὰ καθ' ἡμέραν, λαμπρῶς πωλῶν τὰ πλείω ὁ Σιμωνίδης τῶν παρ' ἐκείνου πεμπομένων ἑαυτῷ μικρὸν μέρος ἀπετίθετο· ἐρομένου δέ τινος τὴν αἰτίαν, 'Ὅπως' εἶπεν 'ἥ τε Ἱέρωνος μεγαλοπρέπεια καταφανὴς ᾖ καὶ ἡ ἐμὴ κοσμιότης.'*

Plut. *Arat.* 45 *καὶ γὰρ εἰ δεινὸν ἄνδρας ὁμοφύλους καὶ συγγενεῖς οὕτω μεταχειρίσασθαι δι' ὀργήν, ἀλλ' 'Ἐν ἀνάγκαις γλυκὺ γίνεται καὶ τὸ σκληρὸν*[1] *κατὰ Σιμωνίδην, ὥσπερ ἀλγοῦντι τῷ θυμῷ καὶ φλεγμαίνοντι θεραπείαν καὶ ἀναπλήρωσιν προσφερόντων.*

Tim. ap. Sch. Pind. *O.* 2. 29 d *καὶ οὕτω τὸν Θήρωνα, ὑπεραγανακτήσαντα θυγατρὸς ἅμα καὶ γαμβροῦ, συρρῆξαι πρὸς Ἱέρωνα πόλεμον παρὰ Γέλᾳ τῷ Σικελιωτικῷ ποταμῷ . . . μή γε μὴν εἰς βλάβην, μηδὲ εἰς τέλος προχωρῆσαι τὸν πόλεμον· φασὶ γὰρ τότε Σιμωνίδην τὸν λυρικὸν περιτυχόντα διαλῦσαι τοῖς βασιλεῦσι τὴν ἔχθραν.*

[1] Madv : mss *καὶ οὐ σ.*

time, till at last, when the wondering Hiero asked him to explain his strange behaviour, he replied that it was because the longer he thought about it, the more obscure it became. I believe that the truth is that Simonides, of whom tradition speaks not only as a delightful poet but in all respects a wise and learned man, despaired of the true answer because so many subtle definitions occurred to him that he could not decide among them.

Athenaeus *Doctors at Dinner*: If we may believe Chamaeleon, Simonides' niggardliness is a real fact. For instance at Syracuse, where Hiero was in the habit of sending him daily a portion of food, Simonides used openly to sell most of it and keep only a small part for himself; and once, when he was asked the reason, replied that he did so as a testimony to Hiero's munificence and his own moderation.[1]

Plutarch *Life of Aratus*: Even if it be a terrible thing to deal thus with one's fellow-clansmen and kinsfolk by anger, still in Simonides' words 'In time of necessity even harshness is sweet,' healing as it were and restoring the spirit when it is sick and fevered.

Timaeus *quoted by the* Scholiast on Pindar: Thus Theron took umbrage on behalf both of his daughter (Demaretè) and her husband (Polyzelus), and made war upon Polyzelus' brother Hiero, advancing to the Sicilian river Gela. . . . But not a blow was struck, and the war came to nothing. For we are told that the lyric poet Simonides came up in the nick of time and reconciled the two kings.[2]

[1] cf. Plat. *Ep.* 2. 311 a [2] cf. Ibid. 29 c for another account

Arist. *Metaph.* 1091 a 5 *πάντα δὴ ταῦτα ἄλογα, καὶ μάχεται καὶ αὐτὰ ἑαυτοῖς καὶ τοῖς εὐλόγοις, καὶ ἔοικεν ἐν αὐτοῖς εἶναι ὁ Σιμωνίδου μακρὸς λόγος· γίγνεται γὰρ ὁ μακρὸς λόγος ὥσπερ ὁ τῶν δούλων ὅταν μηθὲν ὑγιὲς λέγωσιν.*

Alex. Aphr. *ad loc.* 4. p. 827 Brandis *τὸ δὲ . . . σαφὲς ἔσται προειδόσι*[1] *τίς ἐστιν ὁ Σιμωνίδου λόγος. ὁ Σιμωνίδης ἐν τοῖς λόγοις οὓς Ἀτάκτους ἐπιγράφει μιμεῖται καὶ λέγει οὓς εἰκός ἐστι λόγους λέγειν δούλους ἐπταικότας πρὸς δεσπότας ἐξετάζοντας αὐτοὺς τίνος ἕνεκα ταῦτα ἐπταίκασι· καὶ ποιεῖ αὐτοὺς ἀπολογουμένους λέγειν πάνυ μακρὰ καὶ πολλά, οὐδὲν δὲ ὑγιὲς ἢ πιθανόν, ἀλλὰ πᾶν τὸ ἐπιφερόμενον ἐναντίον τῷ προφρασθέντι· τοιοῦτον γὰρ ὡς εἰκὸς τὸ βάρβαρον καὶ παιδείας ἄμοιρον.*

Pind. *Ol.* 2. 94 *. . σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ·*
μαθόντες δὲ λάβροι
παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον
Διὸς πρὸς ὄρνιχα θεῖον.

Schol. *ad loc.* *αἰνίττεται Βακχυλίδην καὶ Σιμωνίδην, ἑαυτὸν λέγων ἀετόν, κόρακας δὲ τοὺς ἀντιτέχνους.*

Sch. Pind. *Nem.* 4. 35 *. . . Σιμωνίδης παρεκβάσει χρῆσθαι εἴωθεν.*

Eust. *Prooem. Com. Pind.* 25 *Πίνδαρός φασι καὶ Σιμωνίδου ἤκουσε.*

[1] mss *προειπυῦσι*

Aristotle *Metaphysics*: All these things are irrational, and inconsistent both with one another and with what is rational, and we may apply to them the term 'a long story' as it is used by Simonides, a long story in that sense being the kind of account given by a slave when he will not talk sense.

Alexander of Aphrodisias *on the passage*: These words will be clear to any reader who has been told what is meant by the λόγος of Simonides. This writer, in what he calls his Ἄτακτοι Λόγοι or *Prose Conversations*,[1] imitates [that is, gives a literary representation of] the answers erring slaves will generally make when their masters are enquiring why they have blundered, and makes them give extremely long and verbose excuses which have no sense—that is, plausibility—but are entirely off the point. This would seem to be characteristic of foreign birth and lack of education.

Pindar *Olympians*: Skilled is the man who knoweth much by nature; they that have but learnt—even as a pair of crows, gluttonous in their wordiness, these chatter vain things against the divine bird of Zeus.

Scholiast *on the passage*: He hints at Bacchylides and Simonides, calling himself an eagle and his rivals crows.[2]

Scholiast on Pindar: . . . Simonides often employs digression.

Eustathius *Introduction to the Commentary on Pindar*: It is said that Pindar was a pupil also of Simonides.

[1] meaning doubtful; apparently some sort of Mime
[2] cf. Sch. *Nem.* 4. 60

Plut. *Mus.* 20 *ἀπείχετο γὰρ καὶ οὗτος (ὁ Παγκράτης) ὡς ἐπὶ τὸ πολὺ τούτου (τοῦ χρωματικοῦ γένους), ἐχρήσατο δ' ἔν τισιν· οὐ δι' ἄγνοιαν οὖν δηλονότι, ἀλλὰ διὰ τὴν προαίρεσιν ἀπείχετο· ἐζήλου γοῦν, ὡς αὐτὸς ἔφη, τὸν Πινδάρειόν τε καὶ Σιμωνίδειον τρόπον καὶ καθόλου τὸ ἀρχαῖον καλούμενον ὑπὸ τῶν νῦν.*

Longin. Rhet. 1. 2. 201 Hammer *ἤδη δὲ καὶ Σιμωνίδης καὶ πλείους μετ' ἐκεῖνον μνήμης ὁδοὺς προὐδίδαξαν, εἰδώλων παράθεσιν καὶ τόπων εἰσηγούμενοι πρὸς τὸ μνημονεύειν ἔχειν ὀνομάτων τε καὶ ῥημάτων· τὸ δέ ἐστιν οὐδὲν ἢ τῶν ὁμοίων πρὸς τὸ δοκοῦν καινὸν παραθεώρησις καὶ συζυγία πρὸς ἀλλήλα.*[1]

Cic. *de Fin.* 2. 32 In nostrane potestate est quid meminerimus? Themistocles quidem cum ei Simonides an quis alius artem memoriae polliceretur, 'Oblivionis' inquit 'mallem; nam memini etiam quae nolo, oblivisci non possum quae volo.'

Sch. Dion. Thr. 185 [*π. τῶν γραμμάτων*]· *εὑρεταὶ δὲ τῶν λοιπῶν χαρακτήρων, τουτέστι τῶν ὀκτώ, οἷον τῶν δύο μακρῶν καὶ τῶν τριῶν διπλῶν καὶ τῶν τριῶν δασέων, δηλονότι Σιμωνίδης ὁ Κεῖος τῶν δύο μακρῶν καὶ τοῦ Ξ καὶ τοῦ Ψ, Παλαμήδης δὲ τῶν δασέων καὶ τοῦ Ζ, ἢ ὡς φασί τινες, Ἐπίχαρμος ὁ Συρακούσιος.*

Plut. *Sen. Ger. Rep.* 3 *Σιμωνίδης ἐν γήρᾳ χοροῖς ἐνίκα.*

[1] mss ἄλλο

Plutarch *Music*: Pancrates usually avoided the chromatic scale, though he used it occasionally, thus showing that he did not avoid it from ignorance. Indeed he tells us himself that he imitates the musical style of Pindar and Simonides and, generally, what is now called the ancient style.

Longinus the Rhetorician: Simonides and many after him have pointed out paths to remembrance, counselling us to compare images and localities in order to remember names and events, but there is nothing more in it than the concatenation and co-observation of the apparently new with what is similar to it.

Cicero *On the Chief Good and the Chief Evil*: Is it in our power to remember or to forget? When Themistocles was once promised—by Simonides I think it was—a handbook of mnemonics or guide to remembrance, 'I should prefer,' he exclaimed, 'a guide to forgetfulness; for I remember things I would not and cannot forget what I would.'[1]

Scholiast on Dionysius of Thrace [on the Alphabet]: As for the inventors of the remaining eight letters, namely the two long vowels, the three double letters, and the three aspirates, it is clear that Simonides of Ceos invented the H, the Ω, the Ξ and the Ψ, and Palamedes the Θ, the Φ, the X, and the Z, though some authorities ascribe these last four (?) to Epicharmus of Syracuse.

Plutarch *Should Old Men Govern?* Simonides won the chorus prize in his old age.[2]

[1] cf. *de Or.* 2. 74, *fr.* 175 below, Plin. *N.H.* 7. 24, Ael. *N.A.* 6. 10 [2] cf. *fr.* 176 below

Luc. *Macr.* 26 Σιμωνίδης δὲ ὁ Κεῖος (ἔζησεν) ὑπὲρ τὰ ἐνενήκοντα (ἔτη).

Suid. Σιμωνίδης (γ') . . . Ἀκραγαντίνων στρατηγὸς ἦν ὄνομα Φοῖνιξ· Συρακουσίοις δὲ ἐπολέμουν οὗτοι. οὐκοῦν ὅδε ὁ Φοῖνιξ διαλύει τὸν τάφον τοῦ Σιμωνίδου μάλα ἀκηδῶς τε καὶ ἀνοίκτως, καὶ ἐκ τῶν λίθων τῶνδε ἀνίστησι πύργον· καὶ κατὰ τοῦτον ἑάλω ἡ πόλις. ἔοικε δὲ καὶ Καλλίμαχος τούτοις ὁμολογεῖν. οἰκτίζεται γοῦν τὸ ἄθεσμον ἔργον, καὶ λέγοντά γε αὐτὸν ὁ Κυρηναῖος πεποίηκε τὸν γλυκὺν ποιητήν·

οὐδὲ τὸ γράμμα
ᾐδέσθη τὸ λέγον μ' υἷα Λεωπρέπεος
κεῖσθαι Κήϊον ἄνδρα.

κᾆτ' εἰπὼν ἄττα ἐπιλέγει·

οὐδ' ὑμέας, Πολύδευκες, ὑπέτρεσεν, οἵ με μελάθρου
μέλλοντος πίπτειν ἐκτὸς ἔθεσθέ ποτε
δαιτυμόνων ἄπο μοῦνον, ὅτε Κραννώνιος, αἰ αἰ,
ὤλισθεν μεγάλους[1] οἶκος ἐπὶ Σκοπάδας.

Ath. 14. 638 e καὶ ὁ τοὺς Εἵλωτας δὲ πεποιηκώς φησιν·

τὰ Στησιχόρου τε καὶ Ἀλκμᾶνος Σιμωνίδου τε
ἀρχαῖον ἀείδειν. ὁ δὲ Γνήσιππος ἔστ' ἀκούειν . .

Sch. Ar. *Vesp.* 1222 [τὰ σκόλι' ὅπως δέξῃ καλῶς]· ἀρχαῖον ἔθος ἑστιωμένους ᾄδειν ἀκολούθως τῷ πρώτῳ, εἰ παύσαιτο τῆς ᾠδῆς, τὰ ἑξῆς. καὶ γὰρ ὁ ἐξ ἀρχῆς δάφνιν ἢ μυρρίνην κατέχων ᾖδε Σιμωνίδου ἢ Στησιχόρου μέλη ἄχρις οὗ ἤθελε, καὶ μετὰ ταῦτα ᾧ ἐβούλετο ἐδίδου, οὐχ

Lucian *Longevity*: Simonides of Ceos lived to be over ninety.[1]

Suidas *Lexicon*: Simonides (3rd notice): . . . There was an Agrigentine General named Phoenix who, in the course of a war with Syracuse, with cynical ruthlessness pulled down the tomb of Simonides and made a bastion of the stones. At that spot the city was taken.[2] This story would seem to be confirmed by Callimachus of Cyrene, who deplores the outrage and makes this writer of delightful verse say: 'neither had he respect for the writing thereon which declared that beneath lay the son of Leoprepes of Ceos'; and a little further on: 'nor yet had he any fear of you brethren, O Polydeuces, who made me, alone of all the guests, pass out ere the roof fell, when the house at Crannon came down alas! upon the mighty Scopadae.

Athenaeus *Doctors at Dinner*: Compare the author of the play called *The Helots*: 'It's old-fashioned to sing Stesichorus, Alcman, or Simonides; but we can hear Gnesippus . . .

Scholiast on Aristophanes *Wasps* ['mind you take up the catch properly']: It was an old custom for guests at table to continue where the first singer left off. The guest who began held a sprig of bay or myrtle and sang a lyric of Simonides or Stesichorus as far as he chose, and then handed the sprig to another, making his choice of a successor with no regard to the order in which the guests were seated.

[1] cf. Cic. *de Sen.* 7 [2] context implies Acragas; S. then apparently died there and not at Syracuse

[1] Bentl: mss Κρανωνίων αἴας ὅ. μέγας

ὡς ἡ τάξις ἀπῄτει. καὶ ἔλεγεν ὁ δεξάμενος παρὰ τοῦ πρώτου τὰ ἑξῆς, κἀκεῖνος ἀπεδίδου πάλιν ᾧ ἐβούλετο.

Ath. 13. 611 a . . . *ὡς Χαμαιλέων φησὶν ἐν τῷ Περὶ Σιμωνίδου.*

Suid. Παλαίφατος· *Αἰγύπτιος ἢ Ἀθηναῖος, γραμματικός . . . Ὑποθέσεις εἰς Σιμωνίδην.*

Anth. Pal. 4. 1 Μελεάγρου στέφανος· . . .
καὶ νέον οἰνάνθης κλῆμα Σιμωνίδεω.

Catull. 38. 7 : . . paulum quid lubet adlocutionis
maestius lacrimis Simonideis.

Suid. Τρύφων· *Ἀμμωνίου, Ἀλεξανδρεύς, γραμματικὸς καὶ ποιητής, γεγονὼς κατὰ τοὺς Αὐγούστου χρόνους καὶ πρότερον . . . περὶ τῶν παρ' Ὁμήρῳ Διαλέκτων καὶ Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ Ἀλκμᾶνι καὶ τοῖς ἄλλοις λυρικοῖς.*

Dion. Hal. *Vet. Script.* 420 Reiske Σιμωνίδου δὲ *παρατήρει τὴν ἐκλογὴν τῶν ὀνομάτων, τῆς συνθέσεως τὴν ἀκρίβειαν· πρὸς τούτοις, καθ' ὃ βελτίων εὑρίσκεται καὶ Πινδάρου, τὸ οἰκτίζεσθαι μὴ μεγαλοπρεπῶς ὡς ἐκεῖνος ἀλλὰ*[1] *παθητικῶς.*

Quint. *Inst. Or.* 10. 1. 64 [de novem lyricis]: Simonides, tenuis alioqui, sermone proprio et iucunditate quadam commendari potest; praecipua tamen eius in commovenda miseratione virtus, ut

[1] mss ἀλλ' *ὡς ἐκεῖνος*

[1] ref. to the *Dirges*, cf. Hor. *Od.* 2. 1. 37, 4. 9. 7

His successor then continued the song, and in turn passed on the sprig at his own caprice.

Athenaeus *Doctors at Dinner*: . . . according to Chamaeleon in his treatise *On Simonides.*

Suidas *Lexicon*: Palaephatus:—An Egyptian, or according to some authorities, an Athenian; grammarian; wrote *Arguments* or introductions to the works of Simonides.

Palatine Anthology: The Garland of Meleager: . . . and a fresh young spray of the vine-buds of Simonides.

Catullus: . . . a word of talk as sad as the tears of Simonides.[1]

Suidas *Lexicon*: Tryphon:—Son of Ammonius; of Alexandria; grammarian and poet; flourished in the reign of Augustus and earlier; wrote . . . on the Dialects in Homer and in Simonides, Pindar, Alcman, and the other lyric poets.

Dionysius of Halicarnassus *Critique of the Ancient Writers*: You should note in Simonides his choice of words and his nicety in combining them; moreover—and here he surpasses even Pindar—he is remarkable for his expression of pity not by employing the grand style but by appealing to the emotions.

Quintilian *Guide to Oratory* [the Nine Lyric Poets]: Simonides, though in other respects not a commanding figure, may be praised for his choice of expression and for a certain sweetness; but his chief excellence lies in his pathos; indeed some critics

quidam in hac eum parte omnibus eius operis auctoribus praeferant.

See also Heph. 67 and 404 Consbr., Serv. *Cent. Metr. Gram. Lat.* 4. 460 ff., Mar. Vict. Ibid. 6. 73, 125, Plut. *Exil.* 13, *Q.C.* 9. 3. 2, Ael. *V.H.* 4. 15, 8. 2, 9. 1, Paus. 1. 2. 3, Xen. *Hiero*, Villois. *An.* 2. 187, Ath. 3. 352 c, 14. 625 d, *Mar. Par.* 48–9, Suid.

ΣΙΜΩΝΙΔΟΥ ΜΕΛΩΝ

Α′

ΥΜΝΩΝ

1 εἰς Δία Ὀλύμπιον

Him. *Or.* 5. 2 *Ἡλεῖοί ποτε τῆς Σιμωνίδου λύρας ἐπιλαβόμενοι ὅτε ἐπὶ τὴν Πῖσαν ἔσπευδεν ὕμνῳ κοσμῆσαι τὸν Δία, δημοσίᾳ φωνῇ τὴν πόλιν πρὸς Διὸς ᾄδειν ἐκέλευον.*

2 εἰς Ποσειδῶνα

Sch. Eur. *Med.* 5 [*πάγχρυσον δέρας*]· *τὸ δέρμα· τοῦτο οἱ μὲν ὁλόχρυσον εἶναί φασιν οἱ δὲ πορφυροῦν. καὶ Σιμωνίδης δὲ ἐν τῷ Εἰς τὸν Ποσειδῶνα Ὕμνῳ ἀπὸ τῶν ἐν τῇ θαλάττῃ πυρφυρῶν κεχρῶσθαι αὐτὸ λέγει.*

---

[1] the numeration is purely conjectural; there are no ancient references by number [2] I have placed here the

consider that in this quality he surpasses all other writers of this class of literature.

Βακχυλίδης, Them. *Or.* 21, p. 259, *A.P.* 9. 184, 571 (vol. i, pp. 2, 164), Plat. *Rep.* 1. 335 e, *Prot.* 316 a, Plut. *Num. Vind.* 555 f, Philod. *Mus.* 96. 38, 99. 28, Sch. Dion. Thr. 35, 191, 320, Aristid. π. Παραφθ. 3, p. 646, Synes. *Ep.* 49.

THE POEMS OF SIMONIDES

Book 1[1]

HYMNS

1 To Olympian Zeus

Himerius *Declamations*: One day when Simonides was hastening to Pisa to honour Zeus with a hymn, the Eleans laid hold of his lyre and all with one accord bade him sing the city instead of Zeus.

2 To Poseidon[2]

Scholiast on Euripides *Medea* ['the all-golden pelt']: The fleece, which according to some authorities was entirely of gold, according to others of purple. Simonides in the *Hymn to Poseidon* says that it was dyed in sea-purple.

fragments which deal with the Argonauts, but they may have belonged to other poems

E.M. 596. 14 *νάκη· τὸ αἰγεῖον δέρμα, κωδία καὶ κώδιον τὸ προβατεῖον. οὐκ ἄρα τὸ ἐν Κόλχοις νάκος ῥητέον. κακῶς οὖν Σιμωνίδης*

νάκος

φησί.

Sch. *Ap. Rh.* 4. 177 *πολλοὶ δὲ χρυσοῦν τὸ δέρας εἰρήκασιν . . . ὁ δὲ Σιμωνίδης ποτὲ μὲν λευκόν, ποτὲ δὲ πορφυροῦν.*

3

Sch. Eur. *Med.* 2 [Ξυμπληγάδας]· *ταύτας ὁ Σιμωνίδης*

Συνορμάδας

φησίν.

4

Sch. Pind. *P.* 4. 450 [*ἔνθα καὶ γυίων ἀέθλοις ἐπέδειξαν κρίσιν ἐσθῆτος ἀμφίς*]· . . . *καὶ γὰρ καὶ παρὰ Σιμωνίδῃ ἐστὶν ἡ ἱστορία ὅτι περὶ ἐσθῆτος ἠγωνίσαντο.*

5

Sch. Eur. *Med.* 19 *ὅτι δὲ καὶ ἐβασίλευσεν* (ἡ Μήδεια) *Κορίνθου, ἱστοροῦσιν Εὔμηλος καὶ Σιμωνίδης λέγων οὕτως·*

ὁ δὲ κατεὶς Κόρινθον οὐ Μαγνησίαν
ναῖεν,[1] ἀλόχου δὲ Κολχίδος συνέστιος[2]
Κράνου Λεχαΐου τ' ἄνασσεν.[3]

6

Sch. Ap. Rh. 4. 814 *ὅτι δὲ Ἀχιλλεὺς εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος ἔγημε Μήδειαν, πρῶτος Ἴβυκος εἴρηκε, μεθ' ὃν Σιμωνίδης.*

[1] ὁ δὲ κατεὶς (= κατιὼν) *B* sugg. cf. 80: mss οὐδὲ κατ' εἰς [2] Elms: mss συνάστεος [3] Κράνου (= Κρανείου) *E*: mss θράνου

Etymologicum Magnum: νάκη means a goatskin, κωδία and κώδιον a sheepskin. And so the Colchian

fleece

ought not to be called νάκος, and Simonides is wrong in this.

Scholiast on Apollonius of Rhodes *Argonautica*: Many have made the Fleece golden. . . . Simonides sometimes calls it white and sometimes purple.[1]

3

Scholiast on Euripides *Medea* ['the Clashing Rocks'] These are called by Simonides

the Together-moving Rocks

4

Scholiast on Pindar [. . . 'Lemnos, where the Argonauts gave proof of their limbs in a contest for a garment (*or* without their clothes),] . . . And indeed in Simonides' account the clothing is the prize.

5[2]

Scholiast on Euripides *Medea*: We are told that Medea was queen of Corinth by Eumelus, and by Simonides in the lines:

And when Jason returned he dwelt not at Magnesia but at Corinth, and ruled Cranum and Lechaeum as hearth-fellow of a Colchian spouse.

6

Scholiast on Apollonius of Rhodes *Argonautica*: The marriage of Medea to Achilles on his arrival in the Elysian Plain is first told by Ibycus, and after him by Simonides.

[1] seems to imply that S. mentioned the Fleece in more poems than one; cf. Tzet. *Chil.* 1. 430 where S. is said to have applied the epithet to the lamb of Atreus [2] cf. Sch. Eur. *Med.* 10, Paus. 2. 3. 10

7

Arg. Eur. *Med.* Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν ὡς Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε.

Β'

ΠΑΙΑΝΩΝ

8

Him. *Or.* 16. 7 διὸ δὴ καὶ Σιμωνίδῃ πείθομαι ὅπερ ἐκεῖνος ἐν Μέλεσι περὶ Μουσῶν ἀνύμνησε· φησὶ γὰρ δήπου τοῦτο ἐκεῖνος· 'Ἀεὶ μὲν αἱ Μοῦσαι χορεύουσι καὶ φίλον ἐστὶ ταῖς θεαῖς ἐν ᾠδαῖς τε εἶναι καὶ κρούμασιν· ἐπειδὰν δὲ ἴδωσι τὸν Ἀπόλλωνα τῆς χορείας ἡγεῖσθαι ἀρχόμενον, τότε πλέον ἢ πρότερον τὸ μέλος ἐκτείνασαι ἦχόν τινα παναρμόνιον καθ' Ἑλικῶνος ἐκπέμπουσιν.'

e.g.[1]

Ἀεὶ μὲν χορὸς φίλος ἐστὶ Μοίσαις·
ἐπεὶ δὲ ἴδωσιν Ἀπόλλωνα χορείας
ἀγεῖσθ' ἀρχόμενον, τότε πλεῖον
ἢ πρότερον τὸ μέλος
τείνουσι παναρμονίαν τε
καθ' Ἑλικῶνος ἐκπέμπουσιν ἠχώ.[2]

9

Jul. *Ep.* 24. 395 d Σιμωνίδῃ δὲ ἄρα τῷ μελικῷ πρὸς τὴν Ἀπόλλωνος εὐφημίαν ἀρκεῖ τὸν θεὸν

Ἕκατον

προσειπόντι καὶ καθάπερ ἀντ' ἄλλου τινὸς ἱεροῦ γνωρίσματος αὐτοῦ τὴν ἐπωνυμίαν κοσμῆσαι, διότι τὸν Πυθωνα τὸν δράκοντα βέλεσιν ἑκατόν, ὥς φησιν, ἐχειρώσατο.

